κύων (ὁ, ἡ) *dog.* Dat. κυνί. *Cf.* cynic.

ὄρνις (ὁ, ἡ) *bird.* Dat. ὄρνῑθι. *Cf.* ornithology.

πάλαι *long ago.* ΣΧΟΛΙΑ. *Cf* palæography.

σοφός. σοφώτερος, σοφώτατος *wiser, wisest.*

ὥσπερ *just as.*

ΗΔΟΜΑΙ ΦΙΛΟΙΣ ΑΓΑΘΟΙΣ

Ὁ Σωκράτης "Ἐγώ," ἔφη, "ὦ βέλτιστε, καὶ αὐτός, ὥσπερ ἄλλος τις ἢ ἵππῳ ἀγαθῷ ἢ κυνὶ ἢ ὄρνῑθι ἥδεται, οὕτως ἔτι μᾶλλον ἥδομαι φίλοις ἀγαθοῖς, καὶ ἐάν τι ἔχω ἀγαθόν, διδάσκω τοὺς φίλους. καὶ τοὺς θησαυροὺς τῶν πάλαι σοφῶν ἀνδρῶν, οὓς ἐκεῖνοι κατ-έλιπον ἐν βιβλίοις γράψαντες, ἀν-ελίττων κοινῇ σὺν τοῖς φίλοις δι-έρχομαι, κἄν τι ὁρῶμεν ἀγαθόν, ἐκ-λεγόμεθα καὶ μέγα νομίζομεν κέρδος, ἐὰν ἀλλήλοις ὠφέλιμοι γιγνώμεθα.

—Ἐκ τῶν Ξενοφῶντος Ἀπομνημονευμάτων, Α', ς'.

ΣΧΟΛΙΑ

1 *ὦ βέλτιστε my friend.* See below.

2. *ἵππῳ ἥδομαι, κοινῇ* (6), § 121. *ὄρνῑθι, i.e.* a fighting-cock.

5. *τῶν πάλαι ἀνδρῶν. πάλαι* is here employed as an adjective. οὓς,

ἐκεῖνοι κατ-έλιπον ἐν βιβλίοις γράψαντες *which they left in books, having written (them)*, i.e. *in the form of writing.*

6. ἀν-ελίττων. The ancient "book" was a roll.

7. ὁρῶμεν *we see.*

Modes of Address

In ancient Greece it was the custom to address one's friend either by his given name, ὦ Φίλιππε, or else to employ a complimentary epithet, such as ὦ φίλε, ὦ ἀγαθέ, ὦ ἄριστε, ὦ βέλτιστε *good sir! my friend*, etc. Frequently epithet and name are combined: ὦ φίλε Σώκρατες.

Forms of address like *Sir!* or *Mr.* were not in use among equals, but belonged to the language of the slave and hireling. *Mister* is a corruption of *Master*. So the common address in Modern Greek, ὦ κύριε, meant originally *my Lord!* and was employed by slaves and other subordinates in addressing their superiors. In the New Testament the disciples regularly address their Lord as Κύριε. Compare the refrain common in Greek Christian hymns: Κύριε ἐλέησον *Lord, have mercy!*

XXI. εἴκοσι καὶ εἷς. κα΄

Τὸ Πρῶτον καὶ Εἰκοστὸν Μάθημα

Μέγα νομίζομεν κέρδος ἐὰν ἀλλήλοις ὠφέλιμοι γιγνώμεθα.
— *Σωκράτης.*

Review Lesson XX.

The Participle with the Article: **ὁ ταῦτα λέγων** *the (one) saying* (i.e. *who says*) *this*, § 174. Note that the middle-passive participle ends in **-μενος -μένη -μενον** (*-όμενος -ομένη -όμενον*), and is declined exactly like a first-second-declension adjective, such as **μέγιστος**, § 40 B; thus: *βουλόμενος -η -ον wishing, οἰόμενος -η -ον thinking, γιγνόμενος -η -ον becoming, δυνάμενος -η -ον being able, ἐπιστάμενος -η -ον understanding.*

Herewith Exercise 18.

ΟΝΟΜΑΤΑ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἀκούω, F. *ἀκούσομαι* (§ 62) *hear. Cf.* acoustic. **καλῶς ἀκούειν** *to hear (oneself) well (spoken of)*; **κακῶς ἀκούειν** *to hear (oneself) ill (spoken of).*

βούλομαι, F. *βουλήσομαι will, be willing, wish, desire, prefer. Cf.* volo, and *βουλή* (ἡ) *will, plan, counsel, senate.*

ἐθέλω, F. *ἐθελήσω* (in poetry also *θέλω, θελήσω*) *be willing, wish, consent, desire, will.*

"'Ἐθέλω and *βούλομαι* are nearly synonymous and may often be interchanged; yet, in strict distinction, *ἐθέλω* expresses the *wish* or *will* more as a *feeling*, and *βούλομαι* more as a *rational purpose* or *preference.*"

πλουτέω, F. *ήσω be wealthy.*

(β)

δίκαιος -ᾱ -ον *just, righteous.*

θύρᾱ (ἡ) *door. Cf.* thyroid.

ὅστις *whoever.* § 27.

φαῦλος -η -ον *slight, worthless, mean.*

πάντες *all* Masc. plural.

1. Ἀνὴρ δίκαιός ἐστιν οὐχ ὁ μὴ ἀδικῶν,
ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος μὴ βούλεται.
— Φιλήμων.

2. Βουλόμεθα πλουτεῖν πάντες, ἀλλ' οὐ δυνάμεθα.
— Μένανδρος, Μ. 64.

3. Θέλων καλῶς ζῆν μὴ τὰ τῶν φαύλων φρόνει.
— Τοῦ αὐτοῦ, Μον. 232.

4. Θέλομεν καλῶς ζῆν πάντες, ἀλλ' οὐ δυνάμεθα.
— Τοῦ αὐτοῦ, Μον. 236.

5. Καλῶς ἀκούειν μᾶλλον ἢ πλουτεῖν θέλε.
— Καὶ τοῦ αὐτοῦ, Μ. 285.

6. Ἀρίστιππος ὁ φιλόσοφος ἐρωτηθεὶς διὰ τί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρᾱς ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι, "Ὅτι," ἔφη, "οἳ μὲν ἴσᾱσιν ὧν δέονται, οἳ δὲ οὐκ ἴσᾱσιν." — Διογένης Λαέρτιος.

6. *ἐρωτηθείς when asked.* *ὅτι because.* *ἴσᾱσιν ὧν δέονται they know what they need.* *οὐκέτι* (line 3) is used idiomatically for *οὐ*.

XXII. εἴκοσι καὶ δύο. κβ′

Τὸ Δεύτερον καὶ Εἰκοστὸν Μάθημα

Ὁ στέφανος περὶ κρᾶτὶ μαραίνεται Ἡλιοδώρᾱς,
αὐτὴ δ' ἐκ-λάμπει τοῦ στεφάνου στέφανος.
— Μελέαγρος.

On Heliodora's brow the garland pines,
But she the garland of the garland shines.
— Translation by Dr. Walter Headlam.

Review §§ 54, 140. Learn the conjugation of the present indicative and the subjunctive, optative, imperative, infinitive and participle of the *progressive action-stem*, and of the future indicative, optative, infinitive, and participle of **λύομαι**, § 79 B, and of **δύναμαι**, § 80.

Uses of the Subjunctive:

a) *Exhortation*, § 155.
b) *Question*, § 156.
c) *Conditional Clauses*, § 167 A.

Uses of the Optative:

a) *Wish*, § 162.
b) *Potential*, § 163.
c) *Conditional Clauses*, § 168 A.

Herewith Exercise 19.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἀπο-κρίνομαι *be answering, answer.*
ἔοικε(ν) *it is likely.* **ὡς ἔοικε** *as is likely, as it seems.*
λάμπω and **λάμπομαι** *shine. Cf.* lamp. *ἐκ-λάμπω.*
μαραίνομαι *die out* (of fire), *fade, waste away.*

(β)

αἰσχρός αἰσχρᾱ́ αἰσχρόν *shameful.* **αἴσχῑόν ἐστι** *it is more shameful.*

εἴπερ *if indeed.* § 194.

ἥκιστα *least, by no means.* **ἥκιστά γε.**

κάκῑόν ἐστι *it is worse.*

μάλα *very.* **μᾶλλον** *more.* **μάλιστα** *most.* **μάλιστά γε** *certainly!*

οὐδέτερος -ᾱ -ον *neither.*

οὐ δῆτα *certainly not!* § 187.

περὶ κρᾱτί *about the head* (poetic).

πότερος; ποτέρᾱ; πότερον; *which* (of two)? *uter?*

πότερον . . . ἤ; *whether . . . or? utrum . . . an?* ΣΧΟΛΙΟΝ.

πῶλος (ὁ) *colt.* Common as a proper name: *Polus.*

στέφανος (ὁ) *wreath, crown, garland.* *Cf.* Stephen.

ΠΟΤΕΡΟΝ ΤΟ ΑΔΙΚΕΙΝ Η ΤΟ ΑΔΙΚΕΙΣΘΑΙ;

Πότερον δοκεῖ σοι, ὦ Πῶλε, κάκῑον εἶναι, τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι;

Τὸ ἀδικεῖσθαι ἔμοιγε.

Τί δὲ δὴ αἴσχῑον; πότερον τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι; ἀποκρίνου.

Τὸ ἀδικεῖν.

Οὐκοῦν καὶ κάκῑον, εἴπερ αἴσχῑον;

Ἥκιστά γε.

Μανθάνω· οὐ τὸ αὐτὸ νομίζεις σύ, ὡς ἔοικε, καλόν τε καὶ ἀγαθόν, καὶ κακὸν καὶ αἰσχρόν.

Οὐ δῆτα.

. . . .

Τί δέ; οὐ μέγιστον τῶν κακῶν ἐστι τὸ ἀδικεῖν;

Ἆρα τοῦτο μέγιστον; οὐ τὸ ἀδικεῖσθαι μεῖζον;

Ἥκιστά γε.

Σὺ ἄρα, ὦ Σώκρατες, βούλοιο ἂν ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν;

Βουλοίμην μὲν ἂν ἔγωγε οὐδέτερα, ὦ Πῶλε. εἰ δ' ἀναγκαῖον εἴη ἀδικεῖν ἢ ἀδικεῖσθαι, ἑλοίμην ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν.

—Πλάτων ἐν τῷ Γοργίᾳ, 474, 469.

ΣΧΟΛΙΟΝ

Πότερον . . . ἤ; Classical Greek regularly employed πότερον . . . ἤ; *whether . . . or?* to introduce the two members of a direct alternative question (*utrum . . . an?*). Compare the usage in archaic English "*Whether is Herod or that youngling king.*" — BEAUMONT, *Psyche*, 161.

ΠΡΟΣΘΗΚΗ

1. Σύμβουλος ἀγαθός, μὴ κακός, γίγνου φίλοις.
— Μένανδρος, Μον. 714.
2. Σύμβουλος οὐδείς ἐστι βελτίων χρόνου.
— Ὁ αὐτός, Μον. 479.
3. Σύμβουλος ἀγαθῶν, μὴ κακῶν, εἶναι θέλε.
— Καὶ ὁ αὐτός, Μον. 631.
4. Ἄριστόν ἐστι πάντ᾽ ἐπίστασθαι καλά.
— Καὶ ὁ αὐτός, Μον. 33.
5. Ἆγις ὁ Ἀρχιδάμου ἐρωτηθεὶς τί μάλιστα μάθημα ἐν Σπάρτῃ ἀσκεῖται, "Τὸ γιγνώσκειν," ἔφη, "ἄρχειν τε καὶ ἄρχεσθαι."
— Πλούταρχος, Λακωνικά 215 D.
6. Μέγιστον ὀργῆς ἐστὶ φάρμακον λόγος.
— Μένανδρος, Μον. 346.
7. Ἄριστον ἀνδρὶ κτῆμα συμπαθὴς γυνή.
— Εὐριπίδης, Ἀπόσ. 164 N².
8. Μή μοι γένοιθ᾽ ἃ βούλομ᾽, ἀλλ᾽ ἃ συμφέρει.
— Μένανδρος, Μον. 366.
9. Θῡμῷ χαρίζου μηδέν, ἄνπερ νοῦν ἔχῃς.
— Τοῦ αὐτοῦ, Μον. 245.
10. Κακῆς ἀπ᾽ ἀρχῆς γίγνεται τέλος κακόν.
— Εὐριπίδης, Ἀπ. 32, N².
11. Πολυμαθίᾱ νοῦν οὐ διδάσκει.
— Ἡράκλειτος, ὁ φιλόσοφος.

5. Agis, the son of Archida′mus. *ἀσκεῖται is studied.* 7. *ἀνδρί for a man.*

XXIII. εἴκοσι τρεῖς. κγʹ

Τὸ Τρίτον καὶ Εἰκοστὸν Μάθημα

Ἃ μὴ δεῖ ποιεῖν, μηδὲ ὑπο-νοοῦ ποιεῖν.

— Πυθαγόρᾱς, ὁ φιλόσοφος.

Contract Verbs in **-εω**: Learn the conjugation of the present indicative, and the subjunctive, optative, imperative, infinitive, and participle of the *progressive action-stem* of (*ποιέομαι*) **ποιοῦμαι** *I am making for myself*, § 81 B.

Conjugate in the same way (*ἡγέομαι*) **ἡγοῦμαι** *I believe, regard.*

Verbs of ***thinking*** (see § 179):

νομίζω *hold as customary, regard, deem, suppose.*

οἴομαι (first person singular also *οἶμαι*), F. **οἰήσομαι** *think.*

ἡγέομαι F. **ἡγήσομαι** *believe, hold, suppose.*

Conjugate the verbs in the following phrases:

1) *οἴομαι*[1] (or *οἶμαι*) *εἰδέναι* (*I think to know*) *I think I know.*
2) *οἴομαι οὐκ εἰδέναι I think I do not know.*
3) *οὐκ οἴομαι εἰδέναι I do not think I know.*
4) *σοφὸς οἴομαι εἶναι I think I am **wise**.*
5) *πλούσιον νομίζω τὸν σοφὸν εἶναι.*
6) *αἰσχρὸν ἡγοῦμαι τὸ ψευδῆ λέγειν disgraceful I consider the telling of falsehoods.*

Herewith Exercise 20.

[1] The second person singular, present indicative of *οἴομαι* is *οἴει*, not *οἴῃ*.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

βούλομαι, *βουλήσομαι.*

βουλεύομαι, *βουλεύσομαι deliberate, plan.*

ἐπι-μελέομαι, F. *ἐπιμελήσομαι care for, take care of* (Gen.). § 115.

οἶδα, infin. **εἰδέναι** *to know* (*ϝειδ- ϝοιδ- ϝιδ-*).

πρᾱ́ττω, F. *πρᾱ́ξω do, fare* (*πρᾱγ-* cf. pragmatic, practical).

σημαίνω *make signs to, indicate, point out.* Cf. semaphore.

ὑπο-νοέω, *ὑπο-νοήσω suspect, think secretly* (*ὑπό*).

(β)

πανταχοῦ *everywhere* (*οὗ where*).

τε . . . καί *both . . . and.* § 195.

τρόπος (ὁ) *turn, manner, way.* **ὃν τρόπον** *in which way, in the way in which.* § 113 e.

ΠΑΝΤΑ ΟΙΜΑΙ ΘΕΟΥΣ ΕΙΔΕΝΑΙ

Καὶ Σωκράτης, "Ἐγώ," ἔφη, "ἐπι-μελεῖσθαι θεοὺς νομίζω ἀνθρώπων οὐχ ὃν τρόπον οἱ πολλοὶ νομίζουσιν. οὗτοι μὲν γὰρ οἴονται τοὺς θεοὺς τὰ μὲν εἰδέναι, τὰ δὲ οὐκ εἰδέναι· ἐγὼ δὲ πάντα μὲν οἶμαι θεοὺς εἰδέναι, τά τε λεγόμενα καὶ πρᾱττόμενα καὶ τὰ σῑγῇ βουλευόμενα, πανταχοῦ δὲ παρ-εῖναι καὶ σημαίνειν τοῖς ἀνθρώποις περὶ τῶν ἀνθρωπείων πάντων.

—Ἐκ τῶν Ξενοφῶντος Ἀπομνημονευμάτων, Α΄, ιθ΄.

ΤΟ ΚΑΛΩΣ ΑΚΟΥΕΙΝ

Εἰ βούλει καλῶς ἀκούειν, μάνθανε καλῶς λέγειν. μαθὼν δὲ καλῶς λέγειν πειρῶ καλῶς πρᾱ́ττειν, καὶ οὕτως καρπώσῃ τὸ καλῶς ἀκούειν.

—Ἐπίκτητος, ὁ φιλόσοφος.

ΣΧΟΛΙΑ

μηδὲ ὑπο-νοοῦ do not even be suspected, do not even permit yourself to be suspected.

ἐπι-μελεῖσθαι ἀνθρώπων. § 115 h. *σῑγῇ*, § 121.

μαθὼν having learned. *πειρῶ try!*

καρπώσῃ you will reap the fruit (*καρπός. καρπόω*).

ΠΡΟΣΘΗΚΗ

ἄλλος ἄλλο λέγει (*another says another (thing)*) *one says one thing, another another*, alius aliud dicit.

ἄλλοτε ἄλλος ἔχει *one has at one time, another at another.*

1. Ἄλλος ἄλλοις μᾶλλον ἥδεται τρόποις.
—Εὐριπίδης, Ἀπ. 560 N².

2. Δίκαιος ἀδικεῖν οὐκ ἐπίσταται τρόπος.
— Μένανδρος, Μον. 136.

3. Οὐ τὸ ζῆν περὶ πολλοῦ ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν. — Πλάτων.

4. Τῶν δοξῶν ἃς οἱ ἄνθρωποι δοξάζουσιν, δεῖ τὰς μὲν περὶ πολλοῦ ποιεῖσθαι, τὰς δὲ μή.
— Καὶ τοῦ αὐτοῦ.

5. Οὐ γὰρ δοκεῖν ἄριστος ἀλλ' εἶναι θέλει.
— Αἰσχύλος.

6. Δίκαιος εἶναι μᾶλλον ἢ χρηστὸς θέλε.
— Μένανδρος, Μον. 114.

7. Ἀρχὴ μεγίστη τῶν ἐν ἀνθρώποις κακῶν
ἀγαθά, τὰ λίᾱν ἀγαθά. — Καὶ τοῦ αὐτοῦ.

8. Λίᾱν φιλῶν σεαυτὸν οὐχ ἕξεις φίλον.
— Καὶ τοῦ αὐτοῦ, Μ. 310.

9. Ἂν καλὸν ἔχῃ τις σῶμα καὶ ψῡχὴν κακήν,
καλὴν ἔχει ναῦν καὶ κυβερνήτην κακόν.
— Καὶ τοῦ αὐτοῦ.

10. Οὐκ ἔστιν ἡδέως ζῆν ἄνευ τοῦ φρονίμως καὶ καλῶς καὶ δικαίως, οὐδὲ φρονίμως καὶ καλῶς καὶ δικαίως ἄνευ τοῦ ἡδέως. εἰ δέ τῳ μὴ ἔξ-εστι ζῆν φρονίμως καὶ καλῶς καὶ δικαίως, οὐκ ἔστι τοῦτον ἡδέως ζῆν.
—Ἐπίκουρος, ὁ φιλόσοφος.

11. 

Σῆμα Φρασικλείᾱς· κούρη κεκλήσομαι αἰεί,
  ἀντὶ γάμου παρὰ θεῶν τοῦτο λαχοῦσ᾽ ὄνομα.

ΣΧΟΛΙΑ

7. λίᾱν *too much.*

8. σεαυτόν = σὲ αὐτόν.

10. ἔστι and ἔξ-εστι *it is possible.* ἄνευ *without* (Gen.). ἄνευ τοῦ φρονίμως (ζῆν) *without living wisely.* τῳ *for any one.*

11. A metrical tomb inscription found in Attica, and written in the old Attic alphabet (date c. 600 B.C.). κούρη (κόρη) κεκλήσομαι αἰεί (ἀεί) *I shall always be called a maiden.* τοῦτο λαχοῦσα ὄνομα *having received this name.*

XXIV. εἴκοσι τέτταρες. κδ´

Τὸ Εἰκοστὸν καὶ Τέταρτον Μάθημα

Τὴν πυρὶ νηχομένην ψῡχὴν ἂν πολλάκι καίῃς,
  φεύξετ᾽, Ἔρως· καὐτή, σχέτλι᾽, ἔχει πτέρυγας.

— Μελέαγρος.

My soul that swims in fire forbear,
  O Love, to burn so oft;
She too hath wings, thou wretch! beware,
  Or she will fly aloft.

— Translation by Dr. Walter Headlam.

Review the forms already learned of **λύω, λύομαι, δύναμαι, ποιέω, ποιέομαι**, §§ 79 A, B; 80; 81 A, B.

Formation of the Future: §§ 61, 62 (entire). Master the verbs cited in these sections.

Herewith Exercise 21.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

καίω, F. καύσω and καύσομαι *set fire to, burn.* *Cf.* caustic (καυ- κα-).

πένομαι *toil, work* (*cf.* πόνος), *be poor.* *Cf.* πένης, πενίᾱ, penury.

φεύγω, F. φεύξομαι *flee. fugio.* (φευγ- φυγ-. *Cf.* φυγή (ἡ) *flight.*)

(β)

αἰεί = ἀεί.

ἀρετή (ἡ) *excellence, virtue.*

ἔμπεδον *firm, lasting.*

Ἔρως (ὁ) *Love.* *Cf.* Eros.

πολλάκις (in poetry also πολλάκι) *many times.*

πτέρυξ (ἡ) *wing.* Acc. pl. πτέρυγας.

σχέτλιος *unflinching, cruel.*

χρήματα *possessions.*

Πολλοί τοι πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται.
ἀλλ' ἡμεῖς τούτοις οὐ δι-αμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.
— Θέογνις, 315–318.

ΣΧΟΛΙΑ

Τὴν πυρὶ νηχομένην ψῡχήν *the soul swimming in fire.*

οὐ δι-αμειψόμεθα τῆς ἀρετῆς τὸν πλοῦτον *we will not take-in-exchange their wealth for our respectability* (Gen. of *Value* or *Exchange*, § 116 e). In this quotation the κακοί are the vulgar; the ἀγαθοί those of good birth and breeding.

XXV. πέντε καὶ εἴκοσι. κε'

Τὸ Εἰκοστὸν καὶ Πέμπτον Μάθημα

Μὴ *μάχαιραν παιδί.* — Παροιμίᾱ Ἑλληνική.

The Third Declension: Read carefully § 30, and learn the declensions of **ἡ μάστῑξ** *goad*, **ἡ νύξ** *night*, **ὁ λέων**

lion, **ὁ παῖς** *child, boy*, § 31; **ὁ δαίμων** *divinity*, **ὁ Ἕλλην** *Greek*, § 33; **ὁ πατήρ** *father*, **ἡ μήτηρ** *mother*, **ὁ ἀνήρ** *man*, § 34.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

κρίνω, F. *κρῐνῶ* (§ 61 d) *separate, distinguish, judge.* *Cf.* critic.

(β)

ἄγκῡρα (ἡ) anchor.
ἄπειρος *-ον without experience of* (Gen.).
γέρων (ὁ) *-οντος old man, old.*
ἔρως (ὁ) *-ωτος love.* *Cf.* Eros.
μάχαιρα (ἡ) *dirk, large knife.*
μέγας. Acc. *μέγαν.*
ὅστις *whoever.*
σκαιός *-ά -όν on the left side, left-handed, awkward, loutish.*
ὑπέρτατος *-η -ον highest (of all).*
φωνή (ἡ) *voice.* *Cf.* megaphone.

1. Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν
καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον,
ἢ σκαιός ἐστιν ἢ καλῶν ἄπειρος ὢν
οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.
—Εὐριπίδης, Ἀπ. 269 N².

2. Τί δ' ἄλλο; φωνὴ καὶ σκιᾱ̀ γέρων ἀνήρ.
—Τοῦ αὐτοῦ, Ἀπ. 509 N².

3. Ἀλλ' εἰσὶ μητρὶ παῖδες ἄγκῡραι βίου.
—Σοφοκλῆς, Ἀπ. 623 N².

4. Ὦ Σόλων, Σόλων, Ἕλληνες ἀεὶ παῖδές ἐστε, γέρων δὲ Ἕλλην οὐκ ἔστιν. νέοι γάρ ἐστε τὰς ψῡχᾱ̀ς πάντες.
—Πλάτων ἐν τῷ Τιμαίῳ 22 B.

5. Ἀνὴρ δίκαιος πλοῦτον οὐκ ἔχει ποτέ.
—Μένανδρος, Μον. 52.

6. Ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπ-όλλυται.
—Τοῦ αὐτοῦ, Μον. 27.

7. Ἄριστον ἀνδρὶ κτῆμα συμπαθὴς γυνή.
— Εὐριπίδης, Ἀπ. 164 N².

8. Χρηστὴ γυνὴ κτῆμ' ἐστὶν ἀνδρὶ σώφρονι.
— Μένανδρος, Μον. 634.

9. Δὶς ἐξ-αμαρτεῖν ταὐτὸν οὐκ ἀνδρὸς σοφοῦ.
— Τοῦ αὐτοῦ, Μ. 121.

10. Πέμπω σοι μύρον ἡδύ, μύρῳ παρ-έχων χάριν, οὐ σοί·
αὐτὴ γὰρ μυρίσαι καὶ τὸ μύρον δύνασαι.
— Ἐκ τῆς Ἀνθολογίᾱς.

ΣΧΟΛΙΑ

4. Plato tells us that these words were said to have been spoken by an Egyptian priest in the course of a conversation with the Athenian statesman Solon. They serve to remind us of "the eternal boyhood of the Greeks."

6. ἀπ-όλλυται *it perishes.*

9. δὶς ἐξ-αμαρτεῖν τὸ αὐτόν *twice to make the same error.*

10. μύρον ἡδύ *perfume sweet.* παρ-έχων χάριν *giving grace.* μυρίσαι *to perfume* (μυρίζω).

XXVI. εἴκοσιν ἕξ. κϛ´

Τὸ Ἕκτον καὶ Εἰκοστὸν Μάθημα

Μήτε παῖδας περὶ πλείονος ποιοῦ μήτε τὸ ζῆν μήτ' ἄλλο μηδὲν πρὸ τοῦ δικαίου. — Πλάτων.

Review the preceding lesson, and add the declensions of the numerals: **εἷς** (οὐδείς), **δύο, τρεῖς, τέτταρες**, § 51. Herewith Exercise 22.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

γνωρίζω, F. -ιῶ *make known*; usually in this sense as a passive: *γνωρίζομαι*.
ὀνειδίζω, F. -ιῶ *reproach, upbraid*.
πνέω, F. *πνεύσομαι blow, breathe*.
τίκτω, F. *τέξομαι give birth to, bear* (*τεκ-*, *τοκ-*).
ὑγιαίνω, F. *ὑγιᾰνῶ be in good health* (*ὑγίεια*). **ὑγίαινε** *vale!*

(β)

ἀδόλως *without fraud* (*δόλος* (*ὁ*) *cunning*).
ἀ-θάνατος *-ον immortal*.
ἀλώπηξ (*ἡ*) *-εκος fox*.
ἀμφότεροι *-αι -α both*.
θνητός *-ή -όν mortal* (*θᾰν-*).
λέαινα (*ἡ*) *lioness*.
ὅρκος (*ὁ*) *oath*. *Cf.* Orcus.
σκόλιον (*τό*) *banquet-song*. Contrast *σχόλιον*.
ὕδωρ (*τό*) *water*. § 39. *Cf.* hydrant, hydrophobia.
φυή (*ἡ*) *growth, stature* (*φύω*).
χαρακτήρ (*ὁ*) *-ῆρος a mark engraved* or *impressed, distinctive mark*, character.

1. Εἷς ἐστὶ δοῦλος οἰκίᾱς, ὁ δεσπότης.
—Μενάνδρου, Μον. 168.

2. Λέαινα, ὀνειδιζομένη ὑπὸ ἀλώπεκος ἐπὶ τῷ ἀεὶ ἕνα τίκτειν, "Ἕνα," ἔφη, "ἀλλὰ λέοντα."
—Αἴσωπος.

3. Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.
—Μενάνδρου, Μον. 26.

4. Ἀνδρῶν δὲ φαύλων ὅρκον εἰς ὕδωρ γράφε.
—Τοῦ αὐτοῦ, Μον. 25.

5. Ἓν ἀνδρῶν, ἓν θεῶν γένος· ἐκ μιᾶς δὲ πνέομεν μητρὸς ἀμφότεροι. —Πίνδαρος, Νεμ. VI, 1.

6. Τί δὴ οἱ ἄνθρωποι; θεοὶ θνητοί. τί δὲ δὴ οἱ θεοί; ἄνθρωποι ἀθάνατοι.
—Ἡράκλειτος ὁ φιλόσοφος.

7. Οὐκ ἔσθ' ὑγιείᾱς κρεῖττον οὐδὲν ἐν βίῳ.
—Μενάνδρου, Μον. 408.

8. Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνητῷ,
δεύτερον δὲ φυὴν καλὸν γενέσθαι,
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως,
καὶ τὸ τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.
— Σκόλιον Ἑλληνικόν.

ΣΧΟΛΙΑ

2. ὑπὸ ἀλώπεκος *by a fox*, § 129 g. ἐπὶ τῷ ἕνα τίκτειν *for giving birth to one (only)*.

5. γένος (τό) *race*. Gods and men are of the same race. The mother of both is the Earth.

8. φυὴν καλὸν γενέσθαι *to become beautiful in growth (stature, appearance)*. ἡβᾶν μετὰ τῶν φίλων *to be young with one's friends*.

XXVII. εἴκοσι καὶ ἑπτά. κζ′

Τὸ Εἰκοστὸν καὶ Ἕβδομον Μάθημα

Ἀνὴρ γὰρ ὅστις ἥδεται λέγων ἀεί,
λέληθεν αὑτὸν τοῖς συν-οῦσιν ὢν βαρύς.
— Σοφοκλῆς, Ἀπ. 99 N².

Review Lesson XXI and Exercise 18.

The Participle. The active participle of the progressive action-stem has the suffix **-ντ** and is declined according to the first and third declensions: the masculine and neuter being of the third declension, the feminine being declined like **τράπεζα**, § 28.

Learn the declension of **ὤν οὖσα ὄν** *being*, **λέγων λέγουσα λέγον** *telling*, § 50 A, and **ποιῶν ποιοῦσα ποιοῦν** *making, doing*, § 50 B.

Decline: **παρ-ών** *being present*, **συν-ών** *being with*, **γράφων, φιλῶν, ἀπο-κρῑνόμενος, φιλούμενος** *being loved*.

Uses of the Participle: §§ 173–176 (especially with *τυγχάνω, οἶδα, ἀκούω*).

Herewith Exercise 23.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἀγνοέω, -ήσω *be ignorant* (ἀ-γνο-. *Cf.* know).
δια-φέρω, δι-οίσω *bear apart, differ.* **οὐδὲν δια-φέρει** *it makes no difference.*
εὐπορέω, -ήσω *be* εὔπορος, *prosper, thrive, find a way* (πόρος).
οὐ πάνυ εὐπορῶ *I am all in a muddle.*
μέμνησο *remember!* (Imperative).
πιστεύω, -σω *trust, have faith (in), believe (in)* (Dat.).
φαίνεται *it appears (so).*

(β)

ἀνασχετός -όν *endurable.*
αὖ *in turn, again.*
βαρύς *heavy.* *Cf.* barometer.
ἕτερος ἑτέρᾱ ἕτερον *the one* (of two), *the other.* *Cf.* ἄλλος *another.* *Cf.* heterodoxy.
ἐν τῷ τοιούτῳ *in such (a case).*
καιρός (ὁ) *due measure, the right point of time, opportunity.*
οὐδέτερος οὐδετέρᾱ οὐδέτερον *neither.*
ὕστερον *later.* *Cf.* hysteronproteron.
ὡς *as, how! that* (= ὅτι). § 197.

1. Πιστεύειν δεῖ τοὺς μανθάνοντας.
— Ἀριστοτέλης.
2. Οὐκ ἔστιν αἰσχρὸν ἀγνοοῦντα μανθάνειν.
— Μενάνδρου, Μον. 405.
3. Πολλοὺς ὁ καιρὸς οὐκ ὄντας ποιεῖ φίλους.
— Τοῦ αὐτοῦ, Μον. 446.
4. Ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.
— Καὶ τοῦ αὐτοῦ, Μ. 558.
5. Πολλοὶ τραπεζῶν, οὐ φίλων, εἰσὶν φίλοι.
— Καὶ τοῦ αὐτοῦ, Μον. 627.
6. Μέμνησο νέος ὢν ὡς γέρων ἔσῃ ποτέ.
— Καὶ Μενάνδρου, Μ. 354.
7. Φεῦγ᾽ ἡδονὴν φέρουσαν ὕστερον βλάβην.
— Καὶ τοῦ αὐτοῦ, Μον. 532.

8. Ἀνὴρ δίκαιός ἐστιν οὐχ ὁ μὴ ἀδικῶν,
ἀλλ᾽ ὅστις ἀδικεῖν δυνάμενος μὴ βούλεται.
— Φιλήμων.

9. Κακοὶ γὰρ εὖ πράττοντες οὐκ ἀνασχετοί.
— Αἰσχύλος, Ἀπ. 398 N[2].

10. ΠΟΤΕΡΟΣ ΠΟΤΕΡΟΥ ΦΙΛΟΣ;

Ἐπειδάν τίς τινα φιλῇ, πότερος ποτέρου φίλος γίγνεται, ὁ φιλῶν τοῦ φιλουμένου ἢ ὁ φιλούμενος τοῦ φιλοῦντος; ἢ οὐδὲν δια-φέρει; Οὐδέν, ἔφη, ἔμοιγε δοκεῖ δια-φέρειν. Πῶς λέγεις; ἀμφότεροι ἄρα ἀλλήλων φίλοι γίγνονται, ἐὰν μόνος μόνον ὁ ἕτερος τὸν ἕτερον φιλῇ; Ἔμοιγε δοκεῖ, ἔφη.

Τί δέ; οὐκ ἔστι φιλοῦντα μὴ ἀντι-φιλεῖσθαι ὑπὸ τούτου ὃν ἂν φιλῇ; Ἔστιν. Τί δέ; ἆρα ἔστι καὶ μῑσεῖσθαι φιλοῦντα; Ἐμοὶ δοκεῖ. Οὐκοῦν ἐν τῷ τοιούτῳ ὁ μὲν φιλεῖ, ὁ δὲ φιλεῖται; Ναί. Πότερος οὖν αὐτῶν ποτέρου φίλος ἐστίν, ὁ φιλῶν τοῦ φιλουμένου, ἐάν τε μὴ ἀντιφιλῆται, ἐάν τε καὶ μῑσῆται, ἢ ὁ φιλούμενος τοῦ φιλοῦντος; ἢ οὐδέτερος αὖ ἐν τῷ τοιούτῳ οὐδετέρου φίλος ἐστίν, ἂν μὴ ἀμφότεροι ἀλλήλους φιλῶσιν; Φαίνεται, ἔφη, ἀλλὰ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐ πάνυ εὐπορῶ ἔγωγε.

— Πλάτων ἐν τῷ Λύσιδι.

ΣΧΟΛΙΑ

λέληθεν αὐτόν . . . ὢν βαρύς *he fails to observe that he is a bore* (*he escapes his own notice being heavy*). 6. ἔσῃ *you will be.*

10, 1. ἐπειδάν τίς τινα φιλῇ, πότερος, κτλ. *whenever one loves another which,* etc.

7. οὐκ ἔστι φιλοῦντα μὴ ἀντι-φιλεῖσθαι, κτλ. *is it not possible for one who loves not to be loved in return* (ἀντί) *by this one whom he loves?*

XXVIII. ὀκτὼ καὶ εἴκοσι. κή

Τὸ Εἰκοστὸν Μάθημα καὶ Ὄγδοον

Πιστεύειν δεῖ τοὺς μανθάνοντας. — Ἀριστοτέλης.

Copy several times the selection ΠΟΤΕΡΟΣ ΠΟΤΕΡΟΥ ΦΙΛΟΣ (Lesson XXVII).

ΠΡΟΣΘΗΚΗ

1. Ὀργὴ φιλοῦντος μῑκρὸν ἰσχύει χρόνον.
— Μένανδρος, Μον. 410.

2. Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.
— Εὐριπίδης, Ἀπ. 701 N².

3. Ἀνήρ τις, μέσην ἔχων ἥβην, δύο ἔσχεν[1] ἑταίρᾱς, μίαν μὲν γραῦν,[2] τὴν δὲ ἑτέρᾱν νέᾱν. τούτῳ ἡ μὲν γραῦς τὰς μελαίνᾱς τρίχας ἔτιλλεν,[3] ὡς γέροντα τοῦτον θέλουσα, ἡ δὲ νέᾱ τὰς πολιάς· ἕως αὐτὸν φαλακρὸν ἐποίησαν[4] καὶ ὄνειδος ἁπάντων. — Αἴσωπος.

4. Ἀνθρώπων ἕκαστος δύο πήρᾱς φέρει, τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν, γέμει[5] δὲ κακῶν ἑκατέρᾱ· ἀλλ' ἡ μὲν ἔμπροσθεν ἀλλοτρίων γέμει, ἡ δ' ὄπισθεν τῶν αὐτοῦ τοῦ φέροντος. καὶ διὰ τοῦτο οἱ ἄνθρωποι τὰ μὲν ἐξ αὑτῶν[6] κακὰ οὐχ ὁρῶσι,[7] τὰ δὲ ἀλλότρια πάνυ ἀκριβῶς θεῶνται.[8]
— Αἴσωπος.

[1] ἔσχεν *he got, he had.*
[2] γραῦς (Acc. γραῦν) *an old woman.*
[3] τρίχας ἔτιλλεν *pulled out the hairs.*
[4] ἐποίησαν *they made.*
[5] γέμει κακῶν *is full of evils (faults).*
[6] ἐξ αὑτῶν *from themselves.*
[7] οὐχ ὁρῶσι *they do not see.*
[8] πάνυ ἀκριβῶς θεῶνται *they observe very accurately.*

Before proceeding to the following lessons the pupil should have a thorough mastery of the pronouns: **ἐγώ, σύ, ὁ ἡ τό, ὅδε ἥδε τόδε, ὅς ἥ ὅ, αὐτός -ή -ό, οὗτος αὕτη τοῦτο, ἐκεῖνος -η -ο**, §§ 21–25; of the first and second declensions of nouns and adjectives, §§ 28, 29, 40; of the third declension, as presented in Lessons XXV–XXVIII; and of the forms of the verb indicated in Lesson XXIV. Moreover, he should make himself master of the vocabulary, both words and phrases, employed in Lessons I–XXVIII and in Exercises 1–23.

XXIX. *ἑνὸς δέοντες τριάκοντα.* κθ′

Τὸ Ἔνατον καὶ Εἰκοστὸν Μάθημα

Ἀεὶ καλὸς πλοῦς ἐσθ᾽, ὅταν φεύγῃς κακά.
— Σοφοκλῆς, Φιλ., 641.

Review Lesson XV and Exercise 13.

The Infinitive with Verbs of ***Preventing***, § 172, II b (γ).

Indefinite Relative and Temporal Clauses, §§ 166 B, 167 B, 168 B, 170.

Herewith Exercise 24.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

δουλεύω, -*εύσω* *be a slave* (*δοῦλος*).

ἐπι-πλήττω *strike at, scold, upbraid.*

ἐῶσι(ν) *they permit, allow.*

ἦν δ᾽ ἐγώ *said I* (*and I said*). **ἦ δ᾽ ὅς** *said he* (*and he said*).

κωλύω, -*ύσω* and **δια-κωλύω**, -*ύσω* *prevent, hinder* (Infin.).

(β)

δῆλος δήλη δῆλον *clear, visible, manifest.* **δῆλον ὅτι** *it is clear, clearly.*

εὐδαίμων Acc. *εὐδαίμονα* *blessed with a good genius* (*δαίμων*), *happy.* ΣΧΟΛΙΑ.

ἦ = ἆρα; ΣΧΟΛΙΑ.
θῡμός (ὁ) *spirit, soul, desire.*
Λύσις (ὁ) Lysis. Voc. ὦ Λύσι.
μακάριος -*ιᾱ* -*ιον* *happy, blessed.*
ὅπως *how* (*that*) (πῶς;). ΣΧΟΛΙΑ.
πλοῦς (ὁ) *voyage* (πλέω *sail*).
που (encl.) *I suppose, methinks.*
σφόδρα *very much.*
τρόπος (ὁ). **παντὶ τρόπῳ** *in every way, altogether.*
ὧδε *thus, as follows.* Adv. of ὅδε. *Cf.* οὕτως (οὗτος).
ὡς with superlative *quam.* **ὡς εὐδαιμονέστατος** *as happy as possible, quam beatissimus.*

ΤΑΥΤΑ ΜΕΝ ΕΠΙΣΤΑΜΑΙ ΕΚΕΙΝΑ ΔΕ ΟΥ. Α′[1]

Ἦ που, ἦν δ' ἐγώ, ὦ Λύσι, σφόδρα φιλεῖ σε ὁ πατὴρ καὶ ἡ μήτηρ; Πάνυ γε, ἦ δ' ὅς. Οὐκοῦν βούλοιντο ἂν σε ὡς εὐδαιμονέστατον εἶναι; Πῶς γὰρ οὔ; Δοκεῖ δέ σοι εὐδαίμων εἶναι ἄνθρωπος δουλεύων τε καὶ ᾧ μηδὲν ἔξεστι ποιεῖν ὧν ἐπιθῡμεῖ; Μὰ Δί' οὐκ ἔμοιγε, ἔφη. Οὐκοῦν εἴ σε φιλεῖ ὁ πατὴρ καὶ ἡ μήτηρ καὶ εὐδαίμονά σε ἐπιθῡμοῦσι γενέσθαι, τοῦτο παντὶ τρόπῳ δῆλον ὅτι προ-θῡμοῦνται ὅπως ἂν εὐδαιμονοίης. Πῶς γὰρ οὐχί; ἔφη.

Ἐῶσιν ἄρα σε ἃ βούλει ποιεῖν, καὶ οὐδὲν ἐπιπλήττουσιν οὐδὲ δια-κωλύουσι ποιεῖν ὧν ἂν ἐπιθῡμῇς; Ναὶ μὰ Δία ἐμέ γε, ὦ Σώκρατες, καὶ μάλα γε πολλὰ κωλύουσιν. Πῶς λέγεις; ἦν δ' ἐγώ. βουλόμενοί σε μακάριον εἶναι δια-κωλύουσι τοῦτο ποιεῖν ὃ ἂν βούλῃ; ὧδε δέ μοι λέγε.

ΣΧΟΛΙΑ

1. ἦ που . . .; *I suppose . . . ?* These particles suggest a certain hesitation in putting the question.

[1] This selection from the *Lysis* (pron. *lī′sis*) of Plato extends through Lesson XXXIII, and is later repeated and expanded. Socrates is seated with the lad Lysis upon a bench in a gymnasium at Athens.

8. *γενέσθαι to become.*

9. *προ-θῡμοῦνται ὅπως ἂν εὐδαιμονοίης (they are eager) they eagerly consider how you might be happy.* ὅπως is the indirect form of πῶς; *cf.* ποῦ; ὅπου, ποῖ; ὅποι.

XXX. *τριάκοντα.* λʹ

Τὸ Τριᾱκοστὸν Μάθημα

Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί.

— Ἐπίχαρμος.

Genitive of *Price, Value*, etc., § 116 e; with Verbs of ***Ruling***, § 115 g.

The Third Declension: Learn the declension of **τίς; τί;** *who? what?* and **τις, τι** *some one, any one*, etc., § 27; also of **τὸ ἅρμα** *chariot*, § 32, **τὸ γένος** *race*, etc., and **ὁ Σωκράτης**, § 35.

Herewith Exercise 25.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἄρχω *rule.*

ἐπι-τρέπω *turn (over) to one, entrust to, permit.*

(πωλέω) πωλῶ, F. *-ήσω offer for sale, sell.*

(τελέω) τελῶ, F. τελῶ (for τελέσω, § 19 b) *bring to an end* (τέλος), *complete, execute, pay* (a debt), *pay.*

(β)

ἀλλὰ τί μήν; *quid vero?*

ἀργύριον (τό) *coined silver, money* (ἄργυρος (ὁ) *silver*).

ἐλεύθερος *-ᾱ -ον free.*

ἡνίᾱ (ἡ) *bridle.* Pl. *reins.*

ἡνίοχος (ὁ) *driver* (ἔχω).

μέντοι *surely, in truth.*

μήν, see § 192.

μισθός (ὁ) *hire, wages.*

μισθωτός (ὁ) *hired servant.*

παρά *from* (Gen.).

προσέτι *furthermore.*

ΤΑΥΤΑ ΜΕΝ ΕΠΙΣΤΑΜΑΙ ΕΚΕΙΝΑ ΔΕ ΟΥ. Βʹ

Πῶς λέγεις; ἦν δ' ἐγώ. βουλόμενοί σε μακάριον εἶναι δια-κωλύουσι τοῦτο ποιεῖν ὃ ἂν βούλῃ,

ὧδε δέ μοι λέγε· ἢν ἐπι-θῡμήσῃς ἐπί τινος τῶν τοῦ πατρὸς ἁρμάτων ὀχεῖσθαι λαβὼν τὰς ἡνίᾱς, ὅταν ἁμιλλᾶται, οὐκ ἂν ἐῷέν σε ἀλλὰ δια-κωλύοιεν; Μὰ Δί' οὐ μέντοι ἄν, ἔφη, ἐῷεν. Ἀλλὰ τίνα μήν; Ἔστι τις ἡνίοχος παρὰ τοῦ πατρὸς μισθὸν φέρων. Πῶς λέγεις; μισθωτῷ μᾶλλον ἐπι-τρέπουσιν ἢ σοὶ ποιεῖν ὃ ἂν βούληται περὶ τοὺς ἵππους, καὶ προσέτι αὐτοῦ τούτου ἀργύριον τελοῦσιν; Ἀλλὰ τί μήν; ἔφη.

ΣΧΟΛΙΑ

19. *ἢν ἐπιθῡμήσῃς . . . ὀχεῖσθαι if you-conceive-a-desire to ride* (*ὀχεῖσθαι*) *upon* (*some*) *one*, etc.

20. *λαβών and to take* (strictly: *taking*). *ὅταν ἁμιλλᾶται when he is contending* (in a race).

22. *ἐῷεν ἄν they would permit* (*cf. ἐῶσι*). *ἀλλὰ τίνα μήν* (*ἂν ἐῷεν*); *but whom then?* etc. *μήν* is an intensive particle, and is employed with great frequency after interrogatives, § 192.

26. *αὐτοῦ τούτου*, §§ 106, 116 e.

ΠΡΟΣΘΗΚΗ

ΤΑΥΤΑ ΜΕΝ ΕΠΙΣΤΑΜΑΙ ΕΚΕΙΝΑ ΔΕ ΟΥ. Γ'

Ἀλλὰ τοῦ ὀρικοῦ ζεύγους, οἶμαι, ἐπι-τρέπουσί σοι ἄρχειν, κἂν εἰ βούλοιο λαβὼν τὴν μάστῑγα τύπτειν, ἐῷεν ἄν. Πόθεν ἄν, ἦ δ' ὅς, ἐῷεν; Τί δέ; ἦν δ' ἐγώ, οὐδενὶ ἔξεστιν αὐτοὺς τύπτειν; Καὶ μάλα γε, ἔφη, τῷ ὀρεωκόμῳ. Δούλῳ ὄντι ἢ ἐλευθέρῳ; Δούλῳ, ἔφη. Καὶ δοῦλον, ὡς ἔοικεν, ἡγοῦνται περὶ πλείονος ἢ σὲ τὸν υἱόν, καὶ ἐπι-τρέπουσι τὰ ἑαυτῶν μᾶλλον ἢ σοί, καὶ ἐῶσι ποιεῖν ὃ ἂν βούληται, σὲ δὲ δια-κωλύουσιν:

ΣΧΟΛΙΑ

28. *τοῦ ὀρικοῦ ζεύγους the mule team.*

29. *κἂν, τοῦτ' ἔστι, καὶ ἄν.* The *ἄν* is repeated later: *ἐῷεν ἄν. τύπτω strike.*

30. *πόθεν; whence? wherefore? how?* (the tone is scornful).

31. *οὐδενί (to) no one.*

32. *ὀρεωκόμος (ὁ) muleteer.*

33. *ἡγοῦνται περὶ πλείονος they hold in higher esteem, think more of.*

34. *τὰ ἑαυτῶν their affairs.*

XXXI. τριάκοντα καὶ εἷς. λα΄

Τὸ Πρῶτον καὶ Τριᾱκοστὸν Μάθημα

Γλαῦκ' Ἀθήναζε. — Παροιμίᾱ Ἑλληνική.

An owl to Athens. Cf. "Coals to Newcastle."

The Genitive with Verbs of *Touching*, etc., § 115 c.
The Third Declension: §§ 30–35.
The Reflexive Pronouns: **ἐμαυτοῦ, σεαυτοῦ, ἑαυτοῦ**, § 23.
Herewith Exercise 26.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἄγω, ἄξω *lead. Cf. παιδ-αγωγός.*

ἅπτομαι, ἅψομαι *touch, handle* (Gen.).

(β)

ἄρχων (ὁ) -οντος *ruler* (ἄρχω).

αὖ *in turn, again.*

δήπου *of course, doubtless.*

ἑκών *willingly, intentionally.*

ἡμέτερος -ᾱ -ον *our* (ἡμεῖς).

μῶν . . .; *surely not . . .?* § 178, II.

ἔτι *still, furthermore.*

παιδαγωγός (ὁ) *a slave who attended a boy.* ΣΧΟΛΙΑ.

πάμπολλοι -αι -α *very many* (πᾶς).

πάντως *altogether, wholly, by all means, yes.*

ὑμέτερος -ᾱ -ον *your* (ὑμεῖς).

ὑπό *under, by.* § 129 g, *a.*

ΤΑΥΤΑ ΜΕΝ ΕΠΙΣΤΑΜΑΙ ΕΚΕΙΝΑ ΔΕ ΟΥ. Δʹ

Καί μοι ἔτι τόδε εἰπέ· σὲ αὐτὸν ἐῶσιν ἄρχειν σεαυτοῦ; ἢ οὐδὲ τοῦτο ἐπι-τρέπουσί σοι; Πῶς γάρ, ἔφη, ἐπι-τρέπουσιν; Ἀλλʼ ἄρχει τίς σου; Ὅδε, παιδαγωγός, ἔφη. Μῶν δοῦλος ὤν; Ἀλλὰ τί μήν; ἡμέτερός γε, ἔφη. Ἦ δεινόν, ἦν δʼ ἐγώ, ἐλεύθερον ὄντα ὑπὸ δούλου ἄρχεσθαι. τί δὲ ποιῶν αὖ οὗτος ὁ παιδαγωγός σου ἄρχει; Ἄγων δήπου, ἔφη, εἰς διδασκάλου. Μῶν καὶ οὗτοί σου ἄρχουσιν, οἱ διδάσκαλοι; Πάντως δήπου. Παμπόλλους ἄρα σοι δεσπότᾱς καὶ ἄρχοντας ἑκὼν ὁ πατὴρ ἐφ-ίστησιν.

ΣΧΟΛΙΑ

37. εἰπέ = λέγε.

39. ἄρχει τίς σου; This is the interrogative τίς;

40. παιδαγωγός (ὁ τὸν παῖδα ἄγων). The slave who conducted the Athenian lad to school, carried his writing-tablet, musical instruments, etc., is a familiar figure on Athenian vases.

41. ἦ δεινόν . . . ἐλεύθερον ὄντα, κτλ. *surely it-is-a-dreadful-thing* (δεινόν ἐστι) *for one who is free*, etc. Accusative and infinitive construction after δεινόν ἐστι.

44. εἰς διδασκάλου, § 114.

47. ἐφ-ίστησιν *he sets over* (ἐπί *upon*).

ΠΡΟΣΘΗΚΗ

ΤΑΥΤΑ ΜΕΝ ΕΠΙΣΤΑΜΑΙ ΕΚΕΙΝΑ ΔΕ ΟΥ. Εʹ

Ἀλλʼ ἆρα ἐπειδὰν οἴκαδε ἔλθῃς παρὰ τὴν μητέρα, ἐκείνη σε ἐᾷ ποιεῖν ὅ τι ἂν βούλῃ, ἵνα αὐτῇ μακάριος ᾖς, ἢ περὶ τὰ ἔρια ἢ περὶ τὸν ἱστόν, ὅταν ὑφαίνῃ; οὔ τι γάρ που δια-κωλύει σε τούτων ἅπτεσθαι. καὶ ὃς γελάσᾱς, Μὰ Δία, ἔφη, ὦ Σώκρατες, οὐ μόνον γε δια-κωλύει, ἀλλὰ καὶ τυπτοίμην ἄν,

εἰ ἀπτοίμην. Ἡράκλεις· ἦν δ' ἐγώ, μῶν μή τι ἠδίκηκας τὸν πατέρα ἢ τὴν μητέρα; Μὰ Δί' οὐκ ἔγωγε, ἔφη.

ΣΧΟΛΙΑ

48. ἐπειδὰν οἴκαδε ἔλθῃς *when(ever) you return home.*

49. ἐκείνη . . . ἐᾷ *SHE permits.* § 110. ἵνα αὐτῇ μακάριος ἦς *that you may be her happy boy* (αὐτῇ *for her*, § 120 a).

51. τι *in any respect, at all.*

52. καὶ ὃς γελάσᾱς, ἔφη *and he said with a laugh.*

54. μῶν μὴ . . . ἠδίκηκας *surely you haven't wronged . . . ?*
Ἡράκλεις *Heracles!*

XXXII. δύο καὶ τριᾱ́κοντα. λβ'

Τὸ Δεύτερον καὶ Τριᾱκοστὸν Μάθημα

Βάδιζε τὴν εὐθεῖαν, ἵνα δίκαιος ἦς. — Μενάνδρου, Μον. 62.

Uses of the Subjunctive: (a) *Exhortation*, § 155; (b) *Question*, § 156; (c) *Modest Assertion*, § 158; (d) *Conditional Clauses*, §§ 165, 167; (e) *Final Clauses*, § 160.

Make an intensive study of the passage contained in the preceding ΠΡΟΣΘΗΚΗ, ll. 48–56.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἀνα-μένω *wait for, await* (μένω).

τάττω, τάξω *arrange, put in order, post, station, assign (one) to a task.*

τρέφω, θρέψω *rear, nourish* (θρεφ-). Contrast τρέπω *turn.*

(β)

ἀντὶ τίνος μήν; *on what account, pray? why?*

ἄρτι *just now, a minute ago.*

δεινός -ή -όν *dreadful.* Adv. δεινῶς.

διὰ ἡμέρᾱς ὅλης *throughout the entire day.*

ἑνὶ λόγῳ *in a word.* § 121.

ἐνταῦθα *here, in this case.*

ἡλικίᾱ (ἡ) *time of life, age.* **ἡλικίᾱν ἔχειν** *be of age.*

ὀλίγου (*it lacks little,* § 116 b), *almost.*

πω *yet.* **οὐ . . . πω** *not yet.*

τί ποτε; *what, pray? what in the world? why?*

ΤΑΥΤΑ ΜΕΝ ΕΠΙΣΤΑΜΑΙ ΕΚΕΙΝΑ ΔΕ ΟΥ. ϛʹ

Ἀλλ' ἀντὶ τίνος μὴν οὕτω σε δεινῶς δια-κωλύουσιν εὐδαίμονα εἶναι καὶ ποιεῖν ὅ τι ἂν βούλῃ, καὶ δι' ἡμέρᾱς ὅλης τρέφουσί σε ἀεί τῳ δουλεύοντα καὶ ἑνὶ λόγῳ ὀλίγου ὧν ἐπι-θῡμεῖς οὐδὲν ποιοῦντα; Οὐ γάρ πω, ἔφη, ἡλικίᾱν ἔχω, ὦ Σώκρατες. Μὴ οὐ τοῦτό σε, ὦ παῖ Δημοκράτους, κωλύῃ, ἐπεὶ τό γε τοσόνδε, ὡς ἐγᾦμαι, καὶ ὁ πατὴρ καὶ ἡ μήτηρ σοι ἐπιτρέπουσι καὶ οὐκ ἀναμένουσιν ἕως ἂν ἡλικίᾱν ἔχῃς· ὅταν γὰρ βούλωνται αὐτοῖς τι ἢ ἀναγνωσθῆναι ἢ γραφῆναι, σέ, ὡς ἐγᾦμαι, πρῶτον τῶν ἐν τῇ οἰκίᾳ ἐπὶ τοῦτο τάττουσιν· ἦ γάρ; Πάνυ γε, ἔφη. Οὐκοῦν ἔξεστί σοι ἐνταῦθα ὅ τι ἂν βούλῃ πρῶτον τῶν γραμμάτων γράφειν καὶ ὅ τι ἂν δεύτερον· καὶ ἀναγιγνώσκειν ὡσαύτως ἔξεστιν· ἦ γάρ; Ναί. Τί ποτ' ἂν οὖν εἴη τὸ αἴτιον, ὦ Λύσι, ὅτι ἐνταῦθα μὲν οὐ διακωλύουσιν, ἐν οἷς δὲ ἄρτι ἐλέγομεν κωλύουσιν; Ὅτι, οἶμαι, ἔφη, ταῦτα μὲν ἐπίσταμαι, ἐκεῖνα δ' οὔ.

ΣΧΟΛΙΑ

60. *ὀλίγου ὧν ἐπιθῡμεῖς οὐδὲν ποιοῦντα doing almost none of the things* (*ὧν*) *you desire.* *ὀλίγου* modifies *οὐδέν.*

61. *μὴ οὐ τοῦτο . . . κωλύῃ.* § 158.

62. *ἐπεὶ τό γε τοσόνδε since such a matter as THIS*, referring to *ὅταν γὰρ βούλωνται, κτλ.*

63. *ὡς ἐγᾦμαι, τοῦτ' ἔστιν, ὡς ἐγὼ οἶμαι.*

65. *τι ἢ ἀναγνωσθῆναι ἢ γραφῆναι something either to be read or to be written.*

66. *σὲ πρῶτον τῶν ἐν τῇ οἰκίᾳ you first of those*, etc.

72. *ἐν οἷς δὲ ἄρτι ἐλέγομεν whereas in those matters of which we were just speaking* (*ἐν τούτοις ἃ ἄρτι ἐλέγομεν*, § 102).

XXXIII. τριᾱ́κοντα καὶ τρεῖς. λγ′

Τὸ Τρίτον καὶ Τριᾱκοστὸν Μάθημα

Ἐμπειρίᾱ τοι τῆς ἀπειρίᾱς κρατεῖ. — Μένανδρος, Μον. 169.

The Reflexive Pronouns, § 23. The Formation of the Future, § 61. Declension of **τίς**, § 27.

Review Exercises 21, 25, 26. Dictation exercise based on ll. 48–56.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

αἰσθάνομαι, *αἰσθήσομαι perceive, see, hear*, etc. *Cf.* aesthetic.

ἐπι-στατέω, *ἐπι-στατήσω stand over* (as director), *have charge of* (*στα-*).

κρατέω *-ήσω hold sway (over), be master of, rule, prevail* (Gen., § 115 g) (*κράτος (τό) might*).

οἰκονομέω (*-ήσω*) *manage as a house-steward, manage, direct. Cf.* οἰκονομίᾱ (*ἡ*) *household management, thrift, administration. Cf.* economy.

(β)

ἀπειρίᾱ (*ἡ*) *inexperience* (*ἀ-, πεῖρα* (*ἡ*) *trial, experiment*).

γείτων (*ὁ*) *-ονος neighbor.*

εἶεν *very well! well then!*

ἐμπειρίᾱ (*ἡ*) *experience* (*ἐν*).

ἱκανός *-ή -όν sufficient*

ὅρος (*ὁ*) *limit, boundary, standard. Cf.* horizon.

ὅσπερ *which very (one).*

ΤΑΥΤΑ ΜΕΝ ΕΠΙΣΤΑΜΑΙ ΕΚΕΙΝΑ ΔΕ ΟΥ. Ζ′

Εἶεν, ἦν δ᾽ ἐγώ, ὦ ἄριστε, οὐκ ἄρα τὴν ἡλικίᾱν σου ἀνα-μένει ὁ πατὴρ ἐπι-τρέπειν πάντα, ἀλλ᾽ ᾗ ἂν ἡμέρᾳ ἡγήσηται σὲ βέλτῑον αὑτοῦ φρονεῖν, ταύτῃ ἐπι-τρέψει σοι καὶ αὑτὸν καὶ τὰ αὑτοῦ. Οἶμαι ἔγωγε, ἔφη. Εἶεν, ἦν δ᾽ ἐγώ, τί δέ; τῷ γείτονι ἆρ᾽ οὐχ ὁ

αὐτὸς ὅρος ὅσπερ τῷ πατρὶ περὶ σοῦ ; πότερον οἴει αὐτὸν ἐπι-τρέψειν σοι τὴν αὑτοῦ οἰκίᾱν οἰκονομεῖν, ὅταν σε ἡγήσηται βέλτῑον περὶ οἰκονομίᾱς ἑαυτοῦ φρονεῖν, ἢ αὐτὸν ἐπι-στατήσειν ; Ἐμοὶ ἐπι-τρέψειν οἶμαι. Τί δέ ; Ἀθηναίους οἴει σοι οὐκ ἐπι-τρέψειν τὰ αὑτῶν, ὅταν αἰσθάνωνται ὅτι ἱκανῶς φρονεῖς ; Ἔγωγε.

ΣΧΟΛΙΟΝ

75. *ᾗ ἂν ἡμέρᾳ ἡγήσηται . . . ταύτῃ on the very day on which he-comes to-believe . . . on this day.*

ΠΡΟΣΘΗΚΗ

ΤΑΥΤΑ ΜΕΝ ΕΠΙΣΤΑΜΑΙ ΕΚΕΙΝΑ ΔΕ ΟΥ. Η'

Οὕτως ἄρα ἔχει, ἦν δ' ἐγώ, ὦ φίλε Λύσι. εἰς μὲν ταῦτα, ἃ ἂν φρόνιμοι γενώμεθα, ἅπαντες ἡμῖν ἐπι-τρέψουσιν, Ἕλληνες τε καὶ βάρβαροι καὶ ἄνδρες καὶ γυναῖκες, ποιήσομέν τε ἐν τούτοις ὅ τι ἂν βουλώμεθα, καὶ οὐδεὶς ἡμᾶς ἑκὼν ἐμποδιεῖ, ἀλλ' αὐτοί τε ἐλεύθεροι ἐσόμεθα ἐν αὐτοῖς καὶ ἄλλων ἄρχοντες· εἰς ἃ δὲ ἂν νοῦν μὴ κτησώμεθα, οὔτε τις ἡμῖν ἐπιτρέψει περὶ αὐτὰ ποιεῖν τὰ ἡμῖν δοκοῦντα, ἀλλ' ἐμποδιοῦσι πάντες καθ' ὅ τι ἂν δύνωνται, οὐ μόνον οἱ ἀλλότριοι ἀλλὰ καὶ ὁ πατὴρ καὶ ἡ μήτηρ. συγχωρεῖς οὕτως ἔχειν ; Συγχωρῶ.

ΟΝΟΜΑΤΑ ΚΑΙ ΣΧΟΛΙΑ

86. *οὕτως ἔχειν to be so. Cf. καλῶς ἔχειν. εἰς ταῦτα ἃ ἂν φρόνιμοι γενώμεθα in these (matters) in which we become expert (φρόνιμος wise sagacious).*

90. ἐμποδίζω, F. ἐμποδιῶ *stand in one's way, hinder, impede, impedio* (ἐν . . . πούς (ποδ-)).

92. εἰς ἃ δὲ ἂν νοῦν μὴ κτησώμεθα, τοῦτ' ἔστιν, εἰς δὲ ταῦτα ἃ ἄν, κτλ. . . . κτησώμεθα (*come-to-possess*).

93. τὰ . . . δοκοῦντα *that which seems best.*

94. καθ' (κατὰ) ὅ τι *so far as.*

95. συγχωρέω, -ήσω *agree with* (σύν).

XXXIV. τριάκοντα καὶ τέτταρες. λδ'

Τὸ Τριᾱκοστὸν καὶ Τέταρτον Μάθημα

Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν. — Εὐριπίδης.

The Verb. Verb-roots, etc., § 52; Personal-endings (thematic and non-thematic formations), §§ 53–56; Augment, § 57; Meanings of the Imperfect, § 135.

The Progressive Action-stem. As we have seen (Lesson VI), the first of the action-stems, upon which the conjugational system of the Greek verb is built, is the progressive action-stem, and upon this stem are formed a subjunctive, optative, imperative, infinitive, and participle. In the *indicative* mood this stem, moreover, forms *two tenses:* (*a*) the *present tense*, and (*b*) the *past imperfect tense;* or (*a*) the present indicative, and (*b*) the past imperfect indicative.[1] See § 133.

The pupil should now master *all* of the forms built upon the progressive action-stem, both active and middle, using **λύω** as the type-verb, § 79, A, B.

Conjugate in the same way: **κελεύω** *I am urging, commanding,* **κωλύω** *I am preventing,* **γράφω** *I am writing,* **ἐσθίω** *I am eating* (Past-Impf. ἤσθιον), **ἀπο-θνῄσκω** *I am*

[1] Usually called for the sake of brevity simply imperfect tense or imperfect indicative.

dying (Past-Impf. *ἀπ-έθνησκον*), **ἔχω** *I am holding, I have* (Past-Impf. *εἶχον*), **βούλομαι** *I wish, am willing*, **βουλεύομαι** *I am taking counsel*, **κωλύομαι** *I am being prevented*, **γίγνομαι** *I am becoming*, **ἀπο-κρῑ́νομαι** *I am answering* (Past-Impf. *ἀπ-εκρῑνόμην*), **δύναμαι** (Past-Impf. *ἐδυνάμην*).

Herewith Exercise 27.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἐσθίω, Past-Impf. *ἤσθιον* *eat.*
κτενίζω, Past-Impf. *ἐκτένιζον* *comb, curry* (*κτείς* (*ὁ*), *comb*).
τρέπω, *τρέψω*, Past-Impf. *ἔτρεπον* *turn* (*τρεπ- τροπ-*). **ἐπι-τρέπω**, *ἐπι-τρέψω*, Past-Impf. *ἐπ-έτρεπον* *turn* (*over*) *to, intrust to, permit, allow* (Dat.).
τρῑ́βω, *τρῑ́ψω*, Past-Impf. *ἔτρῑβον* *rub.* *Cf.* diatribe.

(β)

ἀληθῶς *truly* (*ἀληθῆ*).
ἡμέρᾱ (*ἡ*) *day.* *Cf.* ephemeral.
ἱπποκόμος (*ὁ*) *a groom.*
κρῑθή (*ἡ*) *barley.* Usually plural.
φάτνη (*ἡ*) *manger.*

ΚΥΩΝ ΕΝ ΦΑΤΝΗΙ

Κύων τις ἐν φάτνῃ κατα-κειμένη οὔτε αὐτὴ τῶν κρῑθῶν ἤσθιεν οὔτε τῷ ἵππῳ δυναμένῳ φαγεῖν ἐπ-έτρεπεν.

—Ἐκ τῆς τῶν Αἰσωπείων Μύθων Συναγωγῆς, 228 H.

ΙΠΠΟΣ ΚΑΙ ΙΠΠΟΚΟΜΟΣ

Κρῑθὴν τὴν τοῦ ἵππου ἱπποκόμος τις κλέπτων καὶ πωλῶν τὸν ἵππον ἔτρῑβε καὶ ἐκτένιζε πάσᾱς ἡμέρᾱς. ὁ δ' ἵππος, "Εἰ ἐθέλεις," ἔφη, "ἀληθῶς με καλὸν εἶναι, τὴν κρῑθὴν μὴ πώλει."

—Ἐκ τῆς αὐτῆς.

ΣΧΟΛΙΑ

κατα-κειμένη *lying.* *φαγεῖν* *to eat.* *πάσας ἡμέρᾱς* *every day* (*all the days*, Acc. of *Extent of time*, § 113 f.

ΠΡΟΣΘΗΚΗ

ΕΙΣ ΤΗΝ ΛΥΡΑΝ

θέλω λέγειν Ἀτρείδᾱς,
θέλω δὲ Κάδμον ᾄδειν,
ὁ βάρβιτος δὲ χορδαῖς
Ἔρωτα μοῦνον ἠχεῖ.
ἤμειψα[1] νεῦρα πρώην
καὶ τὴν λύρᾱν ἅπᾱσαν·
κἀγὼ μὲν ᾖδον ἄθλους
Ἡρακλέους, λύρᾱ δὲ
ἔρωτας ἀντ-εφώνει.[2]
χαίροιτε λοιπὸν ἡμῖν,
ἥρωες· ἡ λύρᾱ γὰρ
μόνους Ἔρωτας ᾄδει.

—Ἐκ τῆς τῶν Ἀνακρεοντείων Μελῶν Συναγωγῆς.

XXXV. τριάκοντα πέντε. λε΄

Τὸ Πέμπτον καὶ Τριᾱκοστὸν Μάθημα

Ἁπλᾶ γάρ ἐστι τῆς ἀληθείᾱς ἔπη. — Αἰσχύλου Ἀπόσ. 176.

Review Lesson XXVI, and the three types of neuter nouns: **τὸ τρίγωνον**, § 29 B; **τὸ ἅρμα**, § 32; **τὸ γένος**, § 35.

Like **τὸ γένος** decline: **τὸ ἔπος** *word* (*cf.* epic); **τὸ ζεῦγος** *yoke;* **τὸ τεῖχος** *wall* (of a city).

[1] *ἤμειψα νεῦρα πρώην I changed the strings* (*νεῦρα*) *the other day.*
[2] *ἀντ-εφώνει*, past imperfect of **ἀντι-φωνέω.**

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

δια-τρίβω, *δια-τρίψω rub* (*τρίβω*) *through, rub away, spend* (*time*), *waste* (*time*). *Cf.* *διατρῐβή* (*ἡ*) *pastime.*

παρα-βάλλω, *παρα-βαλῶ throw* (*βάλλω*) *alongside, heave* (a boat) *to, come alongside, come in.*

πορεύομαι, *πορεύσομαι proceed, go, be on one's way.*

(β)

Ἀκαδήμεια (*ἡ*) *the* Academy. ΣΧΟΛΙΑ.

ἄξιος *-ίᾱ -ιον worth while, worthy.*

αὐτόθι *here, in this place.*

δεῦρο *hither.*

ἐνταῦθα = *αὐτόθι.*

εὐθύ *straight toward, to* (Gen.).

ἔξω *outside, without* (Gen.).

ᾗ *in which place, where.*

καταντικρύ *opposite* (*to*), *over against* (Gen.) (*κατά, ἀντί*).

ἐν τῷ καταντικρύ *in the place opposite, opposite.*

κρήνη (*ἡ*) *spring, fountain.*

Λύκειον (*τό*) *the* Lyceum. ΣΧΟΛΙΑ.

μέντοι *surely, truly, however.*

νεᾱνίσκος (*ὁ*) *young man, youth.*

περίβολος (*ὁ*) *an enclosure* (*περιβάλλω* (*βελ- βολ- βᾰλ-*)).

πόθεν; *whence?*

πυλίς (*ἡ*) *-ίδος a small gate, postern* (*πύλη* (*ἡ*) *gate*). *Cf.* Thermopylae. **κατὰ τὴν πυλίδα** *near the postern.*

ΛΥΣΙΣ, Η ΠΕΡΙ ΦΙΛΙΑΣ. Α′

(*Ἐκλογὴ ἐκ τοῦ Λύσιδος τοῦ Πλάτωνος*)

Τὰ τοῦ διαλόγου πρόσωπα

Σωκράτης, Ἱπποθάλης, Κτήσιππος, Μενέξενος, Λύσις

Ἐπορευόμην μὲν ἐξ Ἀκαδημείᾱς εὐθὺ Λυκείου τὴν ἔξω τείχους ὑπ' αὐτὸ τὸ τεῖχος· ἐπειδὴ δ' ἐγενόμην κατὰ τὴν πυλίδα ᾗ ἡ Πάνοπος κρήνη, ἐνταῦθα συν-έτυχον Ἱπποθάλει τε τῷ Ἱερωνύμου καὶ Κτησίππῳ τῷ Παιανιεῖ καὶ ἄλλοις μετὰ τούτων νεᾱνίσκοις πολλοῖς. καί με προσ-ιόντα ὁ Ἱπποθάλης ἰδών, Ὦ Σώκρατες, ἔφη, ποῖ δὴ πορεύει καὶ πόθεν; Ἐξ Ἀκαδημείᾱς, ἦν δ' ἐγώ, πορεύομαι

εὐθὺ Λυκείου. Δεῦρο δή, ἦ δ' ὅς, εὐθὺ ἡμῶν. οὐ παρα-βάλλεις; ἄξιον μέντοι. Ποῖ, ἦν δ' ἐγώ, λέγεις, καὶ παρὰ τίνας τοὺς ὑμᾶς; Δεῦρο, ἔφη, δείξᾱς μοι ἐν τῷ καταντικρὺ τοῦ τείχους περίβολόν τέ τινα καὶ θύρᾱν ἀνεῳγμένην. δια-τρίβομεν δέ, ἦ δ' ὅς, αὐτόθι ἡμεῖς τε αὐτοὶ καὶ ἄλλοι πάνυ πολλοὶ καὶ καλοί.

ΣΧΟΛΙΑ

1. ἡ Ἀκαδήμεια . . . τὸ Λύκειον. These were gymnasia in the suburbs of Athens, the former to the north of the city, the latter to the east. Plato established his school in the Academy, Aristotle his in the Lyceum.

2. (κατὰ) τὴν ἔξω τείχους (ὁδόν) *along the road outside*, etc. ἐπειδὴ ἐγενόμην *when I arrived* (lit., *became*).

3. ἡ Πάνοπος κρήνη *the spring of Panops* (Πάνοψ). Its exact location is not known.

4. συν-έτυχον Ἱπποθάλει, κτλ. *I came upon both Hippo'thales, the son of Hiero'nymus, and Ctesippus of the deme of Paea'nia.* Note the position of τε; so in line 13. § 195.

6. με προσ-ιόντα . . . ἰδών *seeing (as he saw) me approaching.*

10. ἄξιον μέντοι (ἐστί). παρὰ τίνας τοὺς ὑμᾶς; τοὺς ὑμᾶς represents εὐθὺ ἡμῶν (9). "*Whom do you mean by 'us'?*"

12. δείξᾱς *pointing out, with a gesture toward.*

13. θύρᾱν ἀν-εῳγμένην *a door standing open.*

XXXVI. ἓξ καὶ τριάκοντα. λϛʹ

Τὸ Ἕκτον καὶ Τριᾱκοστὸν Μάθημα

Μή μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ·
χερσίν τε σπεύδοι χρήμασί τ', ἀμφότερα.
—Θέογνις, 979–980.

Review the conjugation of **εἰμί**, § 91 (and **ἄπ-ειμι, πάρ-ειμι**, § 92), and learn the conjugation of **εἶμι** *I am going*, § 93.

Herewith Exercise 28.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

εἶμι *I am going;* used as a future of *ἔρχομαι*.

ἕπομαι, *ἕψομαι follow* (Dat.) (*σεπ-*. *Cf. sequor*).

(β)

ἅμα *at the same time, together with.*

ἐπαινέτης (*ὁ*) *admirer* (*ἐπαινέω praise*).

ἡδέως *gladly* (*ἡδύς*).

ἱκανός -ή -όν *sufficient, able, worthy.*

νεωστί *recently* (*νέος*). **νεωστὶ ᾠκοδομημένη** *recently built.*

παλαίστρᾱ (*ἡ*) palaestra, *wrestling-school* (*παλαίω wrestle*).

τὰ πολλά *for the most part.*

σοφιστής (*ὁ*) *a master* (of one's craft), *professor*, sophist.

ὕστερος -ᾱ -ον *later than* (Gen.), *after*.

ΛΥΣΙΣ, Η ΠΕΡΙ ΦΙΛΙΑΣ. Β'

Ἔστι δὲ δὴ τί τοῦτο, ἦν δ' ἐγώ, καὶ τίς ἡ διατριβή; Παλαίστρᾱ, ἔφη, νεωστὶ ᾠκοδομημένη· ἡ δὲ διατριβὴ τὰ πολλὰ ἐν λόγοις, ὧν ἡδέως ἄν σοι μετα-διδοῖμεν. Καλῶς δέ, ἦν δ' ἐγώ, ποιοῦντες· διδάσκει δὲ τίς αὐτόθι; Σὸς ἑταῖρός γε, ἦ δ' ὅς, καὶ ἐπαινέτης, Μίκκος. Μὰ Δί', ἦν δ' ἐγώ, οὐ φαῦλός γε ἀνήρ, ἀλλ' ἱκανὸς σοφιστής. Βούλει οὖν ἕπεσθαι, ἔφη, ἵνα καὶ ἴδῃς τοὺς ὄντας αὐτόθι; Ταῦτα, ἦν δ' ἐγώ, δεῖ ποιεῖν. καὶ ἅμα λαβὼν τὸν Κτήσιππον εἰσ-ῆλθον εἰς τὴν παλαίστρᾱν, οἱ δ' ἄλλοι ὕστεροι ἡμῶν ἦσαν.

ΣΧΟΛΙΑ

16. *ἔστι.* Emphatic, *what IS?* § 198.

18. *ὧν . . . ἄν σοι μετα-διδοῖμεν which we would share with you* (§ 115 a).

19. *καλῶς ποιοῦντες* (*acting beautifully*) *you are very kind.*

20. *σὸς ἑταῖρός γε a comrade of YOURS.*

23. *ἵνα καὶ ἴδῃς in order that you may SEE.* *καί* emphasizes *ἴδῃς*. § 189.

24. *λαβὼν τὸν* K. *εἰσ-ῆλθον taking C. I went in.*

ΠΡΟΣΘΗΚΗ

ΛΥΣΙΣ, Η ΠΕΡΙ ΦΙΛΙΑΣ. Γ'

Εἰσ-ελθόντες δὲ κατ-ελάβομεν αὐτόθι τεθυκότας τε τοὺς παῖδας καὶ τὰ περὶ τὰ ἱερεῖα σχεδόν τι ἤδη πεποιημένα, ἀστραγαλίζοντάς τε δὴ καὶ κεκοσμημένους ἅπαντας. οἱ μὲν οὖν πολλοὶ ἐν τῇ αὐλῇ ἔπαιζον ἔξω, οἱ δέ τινες τοῦ ἀποδυτηρίου ἐν γωνίᾳ ἠρτίαζον ἀστραγάλοις παμπόλλοις, ἐκ φορμίσκων τινῶν προ-αιρούμενοι· τούτους δὲ περι-έστασαν ἄλλοι θεωροῦντες, ὧν δὴ καὶ ὁ Λύσις ὁ Δημοκράτους ἦν.

καὶ ἡμεῖς εἰς τὸ καταντικρὺ ἀπο-χωρήσαντες ἐκαθεζόμεθα (ἦν γὰρ αὐτόθι ἡσυχίᾱ) καί τι ἀλλήλοις δι-ελεγόμεθα.

ΣΧΟΛΙΑ

27. *εἰσ-ελθόντες κατ-ελάβομεν on entering we found.*

27–29. Observe the free use of the participial construction: *κατ-ελάβομεν τοὺς παῖδας τεθυκότας* (Perf. Part., *having sacrificed*) . . . *καὶ τὰ περὶ τὰ ἱερεῖα σχεδόν τι ἤδη πεποιημένα* (Perf. Pass. Part.) *the (duties) connected with the offerings scarcely completed* (*having been done*) . . . *ἀστραγαλίζοντας* . . . *κεκοσμημένους* (*having been adorned*) *dressed in festal attire.* Translate: *We found the boys, the sacrifices finished and the duties at the altar scarcely yet completed, playing*, etc.

31. *ἀποδυτηρίου.* Note the position. *Cf. ἐν τῇ αὐλῇ. ἠρτίαζον* (*ἀρτιάζω play at 'odd and even'*).

33. *προ-αιρούμενοι selecting. περι-έστασαν* (*they*) *stood around.*

36. *ἀπο-χωρήσαντες withdrawing.*

"Put alongside of that, and for life-like charm side by side with Murillo's Beggar-boys (you catch them, if you look at his canvas on the sudden, actually moving their mouths to laugh and speak and munch

their crusts, all at once) the scene in the *Lysis* of the dice-players. There the boys are in full dress to take part in a religious ceremony. It is scarcely over; but they are already busy with the knuckle-bones, some just outside the door, others in a corner." — PATER, *Plato and Platonism*, p. 114.

XXXVII. *ἑπτὰ καὶ τριάκοντα.* λζʹ

Τὸ Ἕβδομον καὶ Τριᾱκοστὸν Μάθημα

Interrogative Sentences (Direct and Indirect), § 178.

The Verb: Learn the conjugation of the past-imperfect (active and middle-passive) of the contract verbs in **-εω**, **ποιέω**, **ποιέομαι**, § 81 A–B, and conjugate in like manner the past-imperfect of: **φιλέω**, **φιλέομαι**, **μῑσέω**, **μῑσέομαι**, **ἀπορέω** *be at a loss*, *hesitate* (past-impf. **ἠπόρουν**), **ὀκνέω** *hesitate*, *shrink* (from doing) (past-impf. **ὤκνουν**).

Herewith Exercise 29.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἀμφισβητέω *-ήσω* (*stand apart* (*ἀμφίς*)) *dispute.*
δια-φέρω, *δι-οίσω* (§ 61 (end)).
ἐπι-σκοπέομαι *look at*, *observe*, *regard* (*σκοπέω*).
ἕπομαι, *ἕψομαι* (Past-Impf. *εἱπόμην* for *ἐσεπόμην*, § 19 b).
ἐρίζω *strive*, *vie with* (*ἔρις* (*ἡ*) *-ιδος strife*).
περι-στρέφω *-ψω turn* (*twist*) *about.* Mid. *turn oneself around.*

(β)

γενναῖος *-ᾱ -ον well-born*, *noble* (*γεν-*, *γίγνομαι*).
δῆλος ἦν *he was clearly.*
ἔπειτα *then*, *thereupon.*
θαμά *frequently*, *repeatedly.*
καὶ μὴν . . . γε. Intensive.
μεταξύ *between*, *in the midst.* **μεταξὺ παίζων** *in the midst of play.*
τέως *meanwhile*, *for a time.*
ὡσαύτως *in the same way.*
ὥστε *so as to*, *so that.*

ΛΥΣΙΣ, Η ΠΕΡΙ ΦΙΛΙΑΣ. Δ'

Περι-στρεφόμενος οὖν ὁ Λύσις θαμὰ ἐπ-εσκοπεῖτο ἡμᾶς, καὶ δῆλος ἦν ἐπι-θῡμῶν προσ-ελθεῖν. τέως μὲν οὖν ἠπόρει τε καὶ ὤκνει μόνος προσ-ιέναι· ἔπειτα ὁ Μενέξενος ἐκ τῆς αὐλῆς μεταξὺ παίζων εἰσ-έρχεται, καὶ ὡς εἶδεν ἐμέ τε καὶ τὸν Κτήσιππον, ᾔει παρα-καθ-ιζησόμενος. ἰδὼν οὖν αὐτὸν ὁ Λύσις εἵπετο καὶ συμ-παρ-εκαθέζετο μετὰ τοῦ Μενεξένου.

καὶ ἐγὼ πρὸς τὸν Μενέξενον ἀπο-βλέψᾱς, Ὦ παῖ Δημοφῶντος, ἦν δ᾽ ἐγώ, πότερος ὑμῶν πρεσβύτερος; Ἀμφισβητοῦμεν, ἔφη. Οὐκοῦν καὶ ὁπότερος γενναιότερος, ἐρίζοιτε ἄν, ἦν δ᾽ ἐγώ. Πάνυ γε, ἔφη. Καὶ μὴν ὁπότερός γε καλλίων ὡσαύτως. ἐγέλασαν οὖν ἀμφότεροι. Οὐ μὴν ὁπότερός γε, ἦν δ᾽ ἐγώ, πλουσιώτερος ὑμῶν, οὐκ ἐρήσομαι· φίλοι γάρ ἐστε, ἦ γάρ; Πάνυ γε, ἔφασαν. Οὐκοῦν κοινὰ τά γε τῶν φίλων λέγεται, ὥστε τούτῳ γε οὐδὲν δι-οίσετε, εἴπερ ἀληθῆ περὶ τῆς φιλίᾱς λέγετε. συν-έφασαν.

ΣΧΟΛΙΑ

40–41. προσ-ελθεῖν, προσ-ιέναι *to come toward, to approach.*

43. ὡς εἶδεν *when he saw.*

44. ᾔει παρα-καθ-ιζησόμενος *he came to sit down beside.* Future Participle of *Purpose*, § 175.

46. ἀπο-βλέψᾱς *looking at, with a glance toward.*

50. καλλίων *more beautiful.* ἐγέλασαν *they laughed.*

52. οὐκ ἐρήσομαι *I shall not ask.*

53. ἔφασαν *they said.*

54. τούτῳ *in this respect.* 55. συν-έφασαν *they agreed.*

XXXVIII. ὀκτὼ καὶ τριάκοντα. λη′

Τὸ Τριᾱκοστὸν Μάθημα καὶ Ὄγδοον

Ἡ *μάθησις οὐκ ἄλλο τι ἢ ἀνάμνησις τυγχάνει οὖσα.*
— Πλάτων ἐν τῷ Φαίδωνι, 72 E.

The Participle with the Verb **τυγχάνω**, § 176 c.
The Four Uses of the Optative:

a) *Wish*, § 162.
b) *Potential*, § 163.
c) *Conditional Clauses*, § 168.
d) *Indirect Discourse*, etc., § 179, II, B.

Intensive Study of Λύσις, ll. 46–55 (Lesson XXXVII).

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἐπι-χειρέω, -ήσω *put one's hand* (χείρ) *to* (a work), *attempt.*
ἐρωτᾶν *to ask.* **ἠρόμην** *I asked.*
οἴχομαι (Past-Impf. ᾠχόμην) *I have gone, am gone;* a sort of Perf. (and Plupf.) to ἔρχομαι. *Cf.* ἥκω *I have come, am come.*
τυγχάνω, τεύξομαι *hit* (Gen.), *hit upon, chance upon, obtain, gain; chance, happen* (constantly used with part.).
φάσκων *saying;* participle to φημί *declare, say* (Acc.-Infin.).

(β)

ἀνά-μνησις (ἡ) *recollection, a calling back* (ἀνά) *to memory.*
μάθησις (ἡ) *the act of learning.*
παιδοτρῑ́βης (ὁ) *a teacher of wrestling,* etc., *gymnasium-master* (τρῑ́βω).

ΛΥΣΙΣ, Η ΠΕΡΙ ΦΙΛΙΑΣ. Ε′

Ἐπ-εχείρουν δὴ μετὰ ταῦτα ἐρωτᾶν ὁπότερος δικαιότερος καὶ σοφώτερος αὐτῶν εἴη. μεταξὺ οὖν τις προσ-ελθὼν ἀν-έστησε τὸν Μενέξενον, φάσκων καλεῖν τὸν παιδοτρίβην· ἐδόκει γάρ μοι ἱεροποιῶν τυγχάνειν.

ἐκεῖνος μὲν οὖν ᾤχετο, ἐγὼ δὲ τὸν Λύσιν ἠρόμην· Ἦ που, ἦν δ' ἐγώ, ὦ Λύσι, σφόδρα φιλεῖ σε ὁ πατὴρ καὶ ἡ μήτηρ; Πάνυ γε, ἦ δ' ὅς. . . .

(The continuation of this passage is found in Lessons XXIX–XXX; it should now be read carefully in review.)

ΣΧΟΛΙΑ

56. ἐπ-εχείρουν ἐρωτᾶν *I was on the point of asking.* ὁπότερος . . . εἴη, § 179, II B.

58. προσ-ελθὼν ἀν-έστησε *approaching he summoned* (lit., *caused to stand*). φάσκων καλεῖν τὸν παιδοτρίβην *saying that the gymnasium-master was calling* (*him*).

59. ἐδόκει . . . ἱεροποιῶν τυγχάνειν *he appeared to be officiating at the sacrifice* (*to be in charge of the sacrifice*). ἐτύγχανεν ἱεροποιῶν *he was* (*as it chanced*) *acting as* ἱεροποιός (*a magistrate who officiated at sacrifices*).

XXXIX. *ἑνὸς δέοντες τετταράκοντα.* λθ′

Τὸ Ἔνατον καὶ Τριᾱκοστὸν Μάθημα

Comparison of Adjectives: (a) Regular; (b) Irregular §§ 46–48.

Read carefully, as in the preceding lesson, the portions of the *Λύσις* found in Lessons XXX (*Προσθήκη*) to XXXII, inclusive.

Herewith Exercise 30.

XL. *τετταράκοντα.* μ′

Τὸ Τετταρακοστὸν Μάθημα

The Third Declension; review §§ 27, 30–35, 48, 50 A–B (*ποιῶν*).

Intensive Study of *Λύσις*, ll. 39–45, 56–63.

Review Lesson XXXIII and *Προσθήκη*.

XLI. τετταράκοντα καὶ εἷς. μα´

Τὸ Πρῶτον καὶ Τετταρακοστὸν Μάθημα

Μόνος θεῶν τοι Θάνατος οὐ δώρων ἐρᾷ.
— Αἰσχύλος, Ἀπόσ. 161, N².

The Verb: Contract verbs in **-εω** constitute a very large and important class. Similar to these are contract verbs in **-αω**, which however are far less numerous than those in **-εω**.

Learn the conjugation of the verbs in **-αω** (active voice): **ἐρωτάω** (ἐρωτῶ) *ask* (*a question*), § 82 A.

Conjugate in the same way: **ἐράω** (ἐρῶ) *desire, yearn for, love passionately* (*cf.* ἔρως); **τῑμάω** (τῑμῶ) *honor* (*cf.* τῑμή (ἡ) *worth, value, honor*); **γελάω** (γελῶ) *laugh;* **ὁράω** (ὁρῶ) *see.*

Genitive with Verbs of ***Desiring***, etc., § 115 d.

Herewith Exercise 31.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἐρωτάω, ἐρωτήσω and ἐρήσομαι *ask* (*a question*).

ἔχω, ἕξω, Past-Impf. εἶχον (for ἔσεχον, § 19 b). **προσ-έχω τὸν νοῦν** *I am paying attention.*

εἶπον *I said.* **εἰπέ** *say!*

ἥκω, ἥξω *have come.* *Cf.* οἴχομαι *have gone.*

ἴσθι *know!* **εὖ ἴσθι** *know well!*

σμῑκρὸν λέγω *whisper.* *Cf.* μέγα λέγω.

φημί *I declare, say,* F. ἐρέω (ἐρῶ) *I shall say, tell.*

(β)

ἐν τούτῳ *thereupon, at this moment* (χρόνῳ).

ἅπερ *the very things which.* § 194.

θάνατος (ὁ) *death* (θᾰν-, *cf.* thanatopsis. ἀπο-θνῄσκω).

λάθρα *secretly, unnoticed by* (Gen.). **λάθρα Μενεξένου** *without the notice of Menexenus.*

ὅ τι μάλιστα = ὡς μάλιστα *to the best of one's ability.*

παιδικῶς *boyishly, playfully.*

πάλιν *again, back again.*

σαφῶς *clearly.* *Cf.* σοφῶς.

τοίνῡν *then, therefore.*

ὥρᾱ (ἡ) *season, time, hour.* **ὥρᾱ (ἐστὶν) ἀπ-ιέναι** *it is time to be going away.* **ὥρᾱ ἡμῖν ἀπ-ιέναι.**

ΛΥΣΙΣ, Η ΠΕΡΙ ΦΙΛΙΑΣ. ϛʹ

Καὶ ἐν τούτῳ ὁ Μενέξενος πάλιν ἧκεν, καὶ ἐκαθέζετο παρὰ τὸν Λύσιν, ὅθεν καὶ ἐξ-αν-έστη. ὁ οὖν Λύσις μάλα παιδικῶς καὶ φιλικῶς, λάθρα τοῦ Μενεξένου, σμῑκρὸν πρός με λέγων ἔφη Ὦ Σώκρατες, ἅπερ καὶ ἐμοὶ λέγεις, εἰπὲ καὶ Μενεξένῳ. καὶ ἐγὼ εἶπον· Ταῦτα μὲν σύ γ' αὐτῷ ἐρεῖς, ὦ Λύσι· πάντως γὰρ προσ-εῖχες τὸν νοῦν. Πάνυ μὲν οὖν, ἔφη. Πειρῶ τοίνυν, ἦν δ' ἐγώ, ἀπομνημονεῦσαι αὐτὰ ὅ τι μάλιστα, ἵνα τούτῳ σαφῶς πάντα εἴπῃς. Ἀλλὰ ποιήσω, ἔφη, ταῦτα, ὦ Σώκρατες, πάνυ σφόδρα, εὖ ἴσθι. ἀλλά τι ἄλλο αὐτῷ λέγε, ἵνα καὶ ἐγὼ ἀκούω, ἕως ἂν οἴκαδε ὥρᾱ ᾖ ἀπ-ιέναι.

ΣΧΟΛΙΑ

65. *ὅθεν καὶ ἐξ-αν-έστη* (*in the place*) *from which he had arisen* (*to go*) *out* (*whence also he stood up* (*to go*) *out*). The καὶ is idiomatic; *cf.* ἅπερ καὶ ἐμοὶ λέγεις, εἰπὲ καὶ Μενεξένῳ (68) "*also to me . . . also to Men.*"

71. ἀπομνημονεῦσαι *to recall. Cf.* mnemonic (μνήμη).

72. ἵνα πάντα εἴπῃς *in order that you may tell*, etc.

ΠΡΟΣΘΗΚΗ

ΛΥΣΙΣ, Η ΠΕΡΙ ΦΙΛΙΑΣ. Ζʹ

Ἀλλὰ δεῖ ταῦτα ποιεῖν, ἦν δ' ἐγώ, ἐπειδή γε καὶ σὺ κελεύεις. ἀλλ' ὅρᾱ ὅπως ἐπι-κουρήσεις μοι, ἐάν με ἐλέγχειν ἐπι-χειρῇ ὁ Μενέξενος· ἢ οὐκ οἶσθα ὅτι ἐριστικός ἐστιν; Ναὶ μὰ Δία, ἔφη, σφόδρα γε· διὰ ταῦτά τοι καὶ βούλομαί σε αὐτῷ δια-λέγεσθαι. Ἵνα, ἦν δ' ἐγώ, κατα-γέλαστος γένωμαι; Οὐ μὰ τὸν Δία, ἔφη, ἀλλ' ἵνα αὐτὸν

κολάσῃς. Πόθεν; ἦν δ' ἐγώ, οὐ ῥᾴδιον· δεινὸς γὰρ ὁ ἄνθρωπος, Κτησίππου μαθητής. πάρ-εστι δέ τοι αὐτός — οὐχ ὁρᾷς; — Κτήσιππος. Μηδενός σοι, ἔφη, μελέτω, ὦ Σώκρατες, ἀλλ' ἴθι δια-λέγου αὐτῷ. Δια-λεκτέον, ἦν δ' ἐγώ.

ΣΧΟΛΙΑ

77. ὅρᾱ ὅπως ἐπι-κουρήσεις μοι *see that you aid me* (*see how you shall*, etc.).

81. ἵνα κατα-γέλαστος γένωμαι; *in order that I may become a laughing-stock?*

83. κολάσῃς *you may reprove* (κολάζω).

84. ὁ ἄνθρωπος *the fellow, the chap.*

85. μηδενός σοι μελέτω *don't you mind any one* (*have no care for any one*).

XLII. δύο καὶ τετταράκοντα. μβ'

Τὸ Δεύτερον καὶ Τετταρακοστὸν Μάθημα

Οὐκ ἔστι μητρὸς οὐδὲν ἥδῑον τέκνοις·
ἐρᾶτε μητρός, παῖδες, ὡς οὐκ ἔστ' ἔρως
τοιοῦτος ἄλλος ὅστις ἡδίων ἐρᾶν.
— Εὐριπίδης, 'Απ. 358, N².

The *Genitive Absolute*, § 175 g.

The Verb: Learn the conjugation of the contract verbs in **-αω** (middle voice), § 82 B. Like **πειράομαι** conjugate **ἐρωτάομαι** *I am being asked* (*a question*); **κτάομαι** *I am getting possession of, acquiring.*

Intensive Study of Λύσις, ll. 64–75 (Lesson XLI).

ONOMATA TE KAI PHMATA

(a)

ἑστιάομαι *be feasting, banqueting.* *Cf.* ἑστίᾱ (ἡ) *hearth.* *Cf.* Vesta.

κτάομαι, κτήσομαι *acquire, get.* *Cf.* κτῆμα (τό) *possession.* **κτῆσις** (ἡ) *the* (*act of*) *possessing, possession.*

μετα-δίδοτε *you share, give a share of.* *Cf.* μετα-διδοῖμεν.

(β)

ἀλεκτρυών (ὁ) -όνος *cock.*
οἷος οἵᾱ οἷον *(such) as, what!*
ὄρτυξ (ὁ) -υγος *quail.* *Cf.* ortyx, ortygan.
πράως *calmly, gently, mildly.* **πράως ἔχω.**
πρὸς ταῦτα *toward these.*
τέκνον (τό) *child* (τεκ-, τίκτω).
τῑμή (ἡ) *value, honor* (τῑμάω) *Cf.* timocracy.
τοιοῦτος τοιαύτη τοιοῦτο *such (as).* **τοιοῦτος . . . οἷος.**
χρῡσίον (τό) *coined gold, money* (χρῡσός (ὁ) *gold*). *Cf.* ἀργύριον.

ΛΥΣΙΣ, Η ΠΕΡΙ ΦΙΛΙΑΣ. Η΄

Ταῦτα οὖν ἡμῶν λεγόντων πρὸς ἡμᾶς αὐτούς, Τί ὑμεῖς, ἔφη ὁ Κτήσιππος, αὐτοὶ μόνοι ἑστιᾶσθε, ἡμῖν δ᾽ οὐ μετα-δίδοτε τῶν λόγων; Ἀλλὰ μήν, ἦν δ᾽ ἐγώ, μετα-δοτέον. ὅδε γάρ τι ὧν λέγω οὐ μανθάνει, ἀλλά φησιν οἴεσθαι Μενέξενον εἰδέναι, καὶ κελεύει τοῦτον ἐρωτᾶν. Τί οὖν, ἦ δ᾽ ὅς, οὐκ ἐρωτᾷς; Ἀλλὰ ἐρήσομαι, ἦν δ᾽ ἐγώ, καί μοι εἰπέ, ὦ Μενέξενε, ὃ ἄν σε ἔρωμαι. τυγχάνω γὰρ ἐκ παιδὸς ἐπι-θῡμῶν κτήματός του, ὥσπερ ἄλλος ἄλλου. ὃ μὲν γάρ τις ἵππους ἐπι-θῡμεῖ κτᾶσθαι, ὃ δὲ κύνας, ὃ δὲ χρῡσίον, ὃ δὲ τῑμᾱ́ς. ἐγὼ δὲ πρὸς μὲν ταῦτα πράως ἔχω, πρὸς δὲ τὴν τῶν φίλων κτῆσιν πάνυ ἐρωτικῶς, καὶ βουλοίμην ἄν μοι φίλον ἀγαθὸν γενέσθαι μᾶλλον ἢ τὸν ἄριστον ἐν ἀνθρώποις — ὄρτυγα ἢ ἀλεκτρυόνα, καὶ ναὶ μὰ Δία ἔγωγε μᾶλλον ἢ ἵππον τε καὶ κύνα· οἶμαι δέ, νὴ τὸν κύνα, μᾶλλον ἢ τὸ Δαρείου χρῡσίον κτήσασθαι βουλοίμην ἂν πολὺ πρότερον ἑταῖρον· οὕτως ἐγὼ φιλέταιρός τίς εἰμι.

ΣΧΟΛΙΑ

90. μετα-δίδοτε τῶν λόγων *you share your conversation.*
92. ἀλλά φησιν οἴεσθαι Μ. εἰδέναι *but he says he thinks M. knows.*

95. *ὃ ἂν σε ἔρωμαι whatever I ask you.*

102. The Athenians were fond of pets. A fighting-cock was an especial favorite. Quails also were domesticated and used in various sports.

103. *νὴ τὸν κύνα.* A favorite oath of Socrates.

104. *κτήσασθαι to get possession of.*

XLIII. τετταράκοντα καὶ τρεῖς. μγ´

Τὸ Τρίτον καὶ Τετταρακοστὸν Μάθημα

οἷός τ᾽ εἰμί, § 172, II, c ; **ἅτε** (**οἷα**) with the Participle, § 175 e ; **τε καί**, § 195.

Intensive Study of Λύσις, ll. 93–106 (Lesson XLII).

Herewith Exercise 32.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

εὐδαιμονίζω *consider* (*one*) *fortunate* (*εὐ-δαίμων*).

(β)

ἔμπειρος -ον *experienced in* (Gen.) (*ἐν, πεῖρα*). *Cf.* empiric.

πόρρω (a) *far from* (Gen.) : **πόρρω τοῦ τείχους**. (b) *far along in* (Gen.) : **πόρρω τῆς νυκτός** *late at night.*

ῥᾳδίως *easily* (*ῥᾴδιος*).

ταχύ *quickly* (*ταχύς*). *Cf.* tachygraphy.

ὥστε *so as to, so that* (Infin. or Indic.).

ΛΥΣΙΣ, Η ΠΕΡΙ ΦΙΛΙΑΣ. Θ´

ὑμᾶς οὖν ὁρῶν, σέ τε καὶ Λύσιν, εὐδαιμονίζω, ὅτι οὕτως νέοι ὄντες οἷοί τ᾽ ἐστὲ τοῦτο τὸ κτῆμα ταχὺ καὶ ῥᾳδίως κτᾶσθαι, καὶ σύ τε τοῦτον οὕτω φίλον ἐκτήσω ταχύ τε καὶ σφόδρα, καὶ αὖ οὗτος σέ. ἐγὼ δ᾽ οὕτω πόρρω εἰμὶ τοῦ κτήματος, ὥστε οὐδ᾽ ὅντινα τρόπον γίγνεται φίλος ἕτερος ἑτέρου οἶδα, ἀλλὰ ταῦτα δὴ αὐτά σε βούλομαι ἐρέσθαι ἅτε ἔμπειρον.

ΣΧΟΛΙΑ

110. ἐκτήσω *you acquired.*
111. ὅντινα τρόπον *in what way* (τίνα τρόπον; § 113 e).
113. ἅτε ἔμπειρον (ὄντα). ἐρέσθαι *to ask.*

XLIV. τετταράκοντα τέτταρες. μδʹ

Τὸ Τέταρτον Μάθημα καὶ Τετταρακοστόν

Declension of the Active Participles: **ὤν, λέγων, ποιῶν, ἐρωτῶν,** § 50 A, B; of the Middle (Passive) Participles: **δυνάμενος, βουλόμενος, ποιούμενος, ἐρωτώμενος.**

Intensive Study of Λύσις, ll. 107–113 (Lesson XLIII).

Herewith Exercise 33.

ΛΥΣΙΣ, Η ΠΕΡΙ ΦΙΛΙΑΣ. Γʹ

Καί μοι εἰπέ· ἐπειδάν τίς τινα φιλῇ, πότερος ποτέρου φίλος γίγνεται, ὁ φιλῶν τοῦ φιλουμένου ἢ ὁ φιλούμενος τοῦ φιλοῦντος; ἢ οὐδὲν δια-φέρει; Οὐδέν, ἔφη, ἔμοιγε δοκεῖ δια-φέρειν. Πῶς λέγεις; ἦν δ᾽ ἐγώ. ἀμφότεροι ἄρα ἀλλήλων φίλοι γίγνονται, ἐὰν μόνος μόνον ὁ ἕτερος τὸν ἕτερον φιλῇ; Ἔμοιγε, ἔφη, δοκεῖ. Τί δέ; οὐκ ἔστι φιλοῦντα μὴ ἀντι-φιλεῖσθαι ὑπὸ τούτου ὃν ἂν φιλῇ; Ἔστιν. Τί δέ; ἆρ᾽ ἔστι καὶ μῑσεῖσθαι φιλοῦντα; οἷόν που ἐνίοτε δοκοῦσι καὶ οἱ ἐρασταὶ πάσχειν πρὸς τὰ παιδικά· φιλοῦντες γὰρ ὡς οἷόν τε μάλιστα οἳ μὲν οἴονται οὐκ ἀντι-φιλεῖσθαι, οἳ δὲ καὶ μῑσεῖσθαι· ἢ οὐκ ἀληθὲς δοκεῖ σοι τοῦτο; Σφόδρα γε, ἔφη, ἀληθές. Οὐκοῦν ἐν τῷ τοιούτῳ, ἦν δ᾽ ἐγώ, ὃ μὲν φιλεῖ, ὃ δὲ φιλεῖται; Ναί. Πότερος οὖν αὐτῶν ποτέρου φίλος ἐστίν, ὁ φιλῶν τοῦ φιλουμένου, ἐάν τε μὴ ἀντι-

φιλῆται, ἐάν τε καὶ μῑσῆται, ἢ ὁ φιλούμενος τοῦ φιλοῦντος; ἢ οὐδέτερος αὖ ἐν τῷ τοιούτῳ οὐδετέρου φίλος ἐστίν, ἂν μὴ ἀμφότεροι ἀλλήλους φιλῶσιν; Ἔοικεν. Ἀλλοίως ἄρα νῦν ἡμῖν δοκεῖ ἢ πρότερον ἔδοξεν. τότε μὲν γάρ, εἰ ὁ ἕτερος φιλοίη, ἀμφοτέρους εἶναι φίλους· νῦν δέ, ἂν μὴ ἀμφότεροι φιλῶσιν, οὐδέτερος φίλος. Φαίνεται, ἔφη. ἀλλὰ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐ πάνυ εὐπορῶ ἔγωγε.

ΣΧΟΛΙΑ

120. ἔστι φιλοῦντα, κτλ. *is it possible for one-who-loves*, etc.

122. οἷόν που ἐνίοτε . . . οἱ ἐρασταί *the very (experience) which lovers sometimes I suppose* (ἐνίοτε που), etc.

123. τὰ παιδικά *their darlings, favorites. Cf. deliciae.*

124. ὡς οἷόν τε μάλιστα an intensified ὡς μάλιστα.

133. ἀλλοίως *otherwise, differently* (ἄλλος).

134. ἔδοξεν *(it) seemed.*

137. εὐπορῶ (εὐπορέω) *I am well off, have a way (to do), am able (to do).* οὐ πάνυ εὐπορῶ *I am totally at a loss, I am all in a muddle. (Cf.* ἄπορος.)

XLV. τετταράκοντα πέντε. μεʹ

Τὸ Πέμπτον καὶ Τετταρακοστὸν Μάθημα

Review the past-imperfect (active and middle) of verbs in **-ω**, **-εω**, and **-αω**. Uses of the past-imperfect, § 135.

Intensive Study of Λύσις, ll. 127–137 (Lesson XLIV).

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(a)

ἀγανακτέω -ήσω *feel irritation, be vexed, annoyed.*

ἀπ-ελαύνω *drive away.*

ἐξ-ευρίσκω, ἐξ-ευρήσω *find out, discover.*

κῑνέω -ήσω *set in motion, move, stir up. Cf.* kinetic.

παρα-καλέω *call to (one), summon.*

ὑπο-βαρβαρίζω *speak with a foreign accent, speak somewhat* (ὑπό) *brokenly.*

φροντίζω -ιῶ *pay heed to* (Gen. § 115 h) *regard* (φρονέω. φρένες).

(β)

εἶτα *then.*
ἐν νῷ ἔχω *have in mind, intend.*
ὀψέ *late in the day, late.*
περι-εστῶτες *the bystanders.*
συν-ουσίᾱ (ἡ) *a being together, intercourse, conversation* (συν-ών).

ΛΥΣΙΣ, Η ΠΕΡΙ ΦΙΛΙΑΣ. ΙΑ′

Ταῦτα δ' εἰπὼν ἐν νῷ εἶχον ἄλλον ἤδη τινὰ τῶν πρεσβυτέρων κῑνεῖν. καὶ εἶτα, ὥσπερ δαίμονές τινες, προσ-ελθόντες οἱ παιδαγωγοί, ὅ τε τοῦ Μενεξένου καὶ ὁ τοῦ Λύσιδος, ἔχοντες αὐτῶν τοὺς ἀδελφούς, παρ-εκάλουν καὶ ἐκέλευον αὐτοὺς οἴκαδε ἀπ-ιέναι· ἤδη γὰρ ἦν ὀψέ· τὸ μὲν οὖν πρῶτον καὶ ἡμεῖς καὶ οἱ περι-εστῶτες αὐτοὺς ἀπ-ηλαύνομεν. ἐπειδὴ δὲ οὐδὲν ἐφρόντιζον ἡμῶν, ἀλλ' ὑπο-βαρβαρίζοντες ἠγανάκτουν τε καὶ οὐδὲν ἧττον ἐκάλουν, ἡττηθέντες οὖν αὐτῶν δι-ελύσαμεν τὴν συν-ουσίᾱν.

ὅμως δ' ἔγωγε ἤδη ἀπ-ιόντων αὐτῶν, Νῦν μέν, ἦν δ' ἐγώ, ὦ Λύσι τε καὶ Μενέξενε, καταγέλαστοι γεγόναμεν ἐγώ τε, γέρων ὤν, καὶ ῡ̔μεῖς. ἐροῦσι γὰρ οἵδε ἀπ-ιόντες ὅτι οἰόμεθα ἡμεῖς ἀλλήλων φίλοι εἶναι — καὶ ἐμὲ γὰρ ἐν ῡ̔μῖν τίθημι — οὔπω δὲ ὅ τι ἔστιν ὁ φίλος οἷοί τε ἐγενόμεθα ἐξ-ευρεῖν.

ΣΧΟΛΙΑ

138. ταῦτα εἰπὼν *after saying these things.*
139. ὥσπερ δαίμονες *like (evil) spirits.*
145. ὑποβαρβαρίζοντες. Slaves were usually foreign-born.
147. ἡττηθέντες . . . αὐτῶν *yielding to them (becoming less than they).* δι-ελύσαμεν *we dissolved, brought to an end.*
148. ἀπ-ιόντων αὐτῶν *as they were going away.*
150. γεγόναμεν *we have become.* ἐροῦσι *they will say.*
152. τίθημι *I set, place, count.*
153. οἷοί τ' ἐγενόμεθα ἐξ-ευρεῖν *we were able to discover.*

The *Lysis* is one of the dialogues of Plato in which no definite conclusion is reached. Between the selection in Lesson XLIV and the closing paragraphs above about ten pages of the dialogue have been omitted. As question succeeds question and dilemma, dilemma, the unfortunate lad becomes more and more confused, until at length he exclaims in despair: *ἐγὼ μὲν οὐκέτι ἔχω τί λέγω.*

XLVI. ἓξ καὶ τετταράκοντα. μς´

Τὸ Ἕκτον καὶ Τετταρακοστὸν Μάθημα

Κρεῖττόν που σμῖκρὸν εὖ ἢ πολὺ μὴ ἱκανῶς περᾶναι.[1]
—Πλάτων ἐν τῷ Θεαιτήτῳ, 187 E.

Review the last four lessons, and the third declension (including §§ 48, 50 A, B), adding §§ 36–37: (ἡ πόλις, ὁ βασιλεύς).

Intensive Study of Λύσις, ll. 138–147 (Lesson XLV).

Herewith Exercise 34.



Σῆμα πατὴρ Κλείβουλος ἀποφθιμένῳ Ξενοφάντῳ
θῆκε τόδ᾽ ἀντ᾽ ἀρετῆς ἠδὲ σαοφροσύνης.

ἀποφθιμένῳ having died. θῆκε he erected. ἠδέ = καί. σαοφροσύνη = σωφροσύνη.

[1] *περᾶναι to bring to an end, to accomplish (περαίνω).*

XLVII. *τετταράκοντα ἑπτά.* *μζʹ*

Τὸ Ἕβδομον καὶ Τετταρακοστὸν Μάθημα

The Verb: Action-stems, etc., §§ 131–133.

Verbs form their *aorist* action-stem in one of several ways, the most common formation consisting in the verb-stem plus the suffix **-σα** (§ 64), thus: **λύω**, aorist-stem **λῡσα-**, aorist indicative **ἔλῡσα** *I loosed.* Other examples are:

γράφω	Aor. st. γραφ + σα-	Aor. Indic. ἔγραψα *I wrote.*
πρᾱ́ττω	Aor. st. πρᾱγ + σα-	Aor. Indic. ἔπρᾱξα *I did.*
ποιέω	Aor. st. ποιη + σα-	Aor. Indic. ἐποίησα *I made.*
ἐρωτάω	Aor. st. ἐρωτη + σα-	Aor. Indic. ἠρώτησα *I asked.*
καλέω[1]	Aor. st. καλε + σα-	Aor. Indic. ἐκάλεσα *I called.*
γελάω	Aor. st. γελᾰ + σα-	Aor. Indic. ἐγέλᾰσα *I laughed, burst into laughter.*

Learn the conjugation of the aorist active of **λύω**, § 79 A, and decline in the same way each of the verbs given above.

Uses of the Subjunctive:

a) *Exhortation.*
b) *Question.*
c) *Aoristic Prohibition*, § 157.
d) *Modest Assertion.*
e) *Conditional Clauses.*
f) *Final Clauses.*

[1] *καλέω* and *γελάω* do not lengthen the final *ε* or *ɑ* to *η* before the aorist suffix.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἀκούω, *ἀκούσομαι, ἤκουσα.*

ἀκολουθέω, *-ήσω, ἠκολούθησα follow.* (Dat.). *Cf.* acolyte.

ἀπο-τυγχάνω *fail of hitting, miss, fail.*

ἐρωτάω, *-ήσω, ἠρώτησα.*

κλέπτω, *κλέψω, ἔκλεψα (κλεπ-).*

κληρονομέω, *-ήσω, ἐκληρονόμησα inherit.*

μοιχεύω, *-εύσω, ἐμοίχευσα be an adulterer (μοιχός).*

ποιέω, *ποιήσω, ἐποίησα.*

τῑμάω, *τῑμήσω, ἐτίμησα.*

ψευδομαρτῡρέω, *-ήσω, -ησα bear false witness.*

φιλέω, *-ήσω, ἐφίλησα.*

φονεύω, *-εύσω, ἐφόνευσα murder (φόνος (ὁ) murder).*

φυλάττω, *φυλάξω, ἐφύλαξα guard (φυλακ-).*

(β)

αἰώνιος *-ον lasting for an age (αἰών. Cf.* aeon).

ζωή *(ἡ) life. Cf.* zoölogy.

ἐντολή *(ἡ) command.*

νεότης *(ἡ) -τητος youth.*

ὅσος *-η -ον as much as.*

περί-λῡπος *-ον very sad* **(λύπη).**

πτωχός *(ὁ) beggar.*

χαλεπός *-ή -όν difficult.* **χαλεπόν ἐστι** *it is difficult, hard, grievous.*

ΧΑΛΕΠΟΝ ΤΟ ΜΗ ΦΙΛΗΣΑΙ

Χαλεπὸν τὸ μὴ φιλῆσαι·
χαλεπὸν δὲ καὶ φιλῆσαι.
χαλεπώτερον δὲ πάντων
ἀπο-τυγχάνειν φιλοῦντα.

—Ἐκ τῆς Ἀνακρεοντείων Μελῶν Συναγωγῆς.

Ο ΠΛΟΥΣΙΟΣ ΑΡΧΩΝ

Καὶ ἠρώτησεν τὸν Ἰησοῦν ἄρχων τις λέγων, Διδάσκαλε ἀγαθέ, τί ποιήσᾱς ζωὴν αἰώνιον κληρονομήσω; εἶπεν δ' αὐτῷ ὁ Ἰησοῦς, Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς, ὁ θεός. τὰς ἐντολὰς οἶδας· Μὴ μοιχεύσῃς, Μὴ φονεύσῃς, Μὴ κλέψῃς, Μὴ ψευδομαρτῡρήσῃς, Τίμᾱ τὸν πατέρα σου καὶ τὴν μητέρα.

ὁ δὲ εἶπεν, Ταῦτα πάντα ἐφύλαξα ἐκ νεότητος.

ἀκούσᾱς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῷ, Ἔτι ἕν σοι λείπει· πάντα ὅσα ἔχεις πώλησον καὶ διά-δος πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν τοῖς οὐρανοῖς, καὶ δεῦρο ἀκολούθει μοι.

ὁ δὲ ἀκούσᾱς ταῦτα περί-λῡπος ἐγενήθη, ἦν γὰρ πλούσιος σφόδρα.

—Ἐκ τοῦ εὐαγγελίου τοῦ κατὰ Λοῦκαν, ΙΗ′, ιη′–κγ′.

ΣΧΟΛΙΑ

2. τί ποιήσᾱς *by doing what . . . ?*
6. οἶδας = οἶσθα.
9. ἀκούσᾱς *having heard.*
10. λείπει *remains, is lacking.* διά-δος *distribute.*
13. ἐγενήθη *he became* = ἐγένετο.

On the style and language of the New Testament, see Vocabulary, *s.v.* Διαθήκη.

ΠΡΟΣΘΗΚΗ

Outline the conjugation of ten or a dozen verbs, including contract verbs in **-εω** and **-αω**, according to the following scheme (§ 79 A):

	Indic.	Subj.	Opt.	Imper.	Infin.	Part.
Progr. Action-stem	λῡ́-ω ἔ-λῡ-ον	λῡ́-ω	λῡ́-οιμι	λῦ-ε	λῡ́-ειν	λῡ́-ων
Future stem	λῡ́-σω		λῡ́-σοιμι		λῡ́-σειν	λῡ́-σων
Aorist Action-stem	ἔ-λῡ-σα	λῡ́-σω	λῡ́-σαιμι	λῦ-σον	λῦ-σαι	λῡ́-σᾱς

XLVIII. δυοῖν δέοντες πεντήκοντα. μη′

Τὸ Ὄγδοον καὶ Τετταρακοστὸν Μάθημα

Ὦ ξεῖν᾽, ἄγγειλον Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι.[1]

—Σιμωνίδης.

[1] This is the famous epitaph written in honor of the Spartans who fell in the battle of Thermopylae: *O passer-by, announce to the Lacedaemonians that here* (τῇδε) *we lie obedient to their commands* (τοῖς ῥήμασι). ὦ ξεῖνε = ὦ ξένε *O strang*

The First Aorist, § 64 (a); Aorists in **-α**, §§ 64 b, 85 A. Learn the declension of the aorist active participle in **-σᾱς**, **λῡ́σᾱς λῡ́σᾱσα λῦσαν**, § 50 C, and decline in the same way: **γράψᾱς**, **φυλάξᾱς**, **ποιήσᾱς**, and without the **σ** (§ 64 b) **κλῑ́νᾱς**, **ἀγγείλᾱς**.

The Meanings of the Aorist, § 136 (especially the *inceptive* aorist).

Herewith Exercise 35.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἀγγέλλω, ἀγγελῶ, ἤγγειλα *announce* (ἀγγελ-, *cf.* ἄγγελος *messenger*).

δάκνω *bite* (δακ-).

διώκω, διώξω and διώξομαι, ἐδίωξα *pursue.*

κλίνω, κλῐνῶ, ἔκλῑνα *make to lean, slant, incline, decline.*

κρατέω, -ήσω, ἐκράτησα *have power* (κράτος) *over, conquer.*

κρίνω, κρῐνῶ, ἔκρῑνα *separate, distinguish, judge.*

μένω, μενῶ, ἔμεινα *remain, wait for.*

σαίνω *wag the tail, fawn upon.*

σημαίνω, σημᾰνῶ, ἐσήμηνα *point out, indicate* (σῆμα).

φαίνω, φᾰνῶ, ἔφηνα *show.*

(β)

ἐχθρός -ά -όν *hateful, hated, hostile.*

λαγῶς (ὁ), Acc. λαγῶν *hare.*

ποτὲ μὲν . . . ποτὲ δέ *at one time . . . at another time.*

οὐρᾱ́ (ἡ) *tail.*

ΚΥΩΝ ΚΑΙ ΛΑΓΩΣ

Κύων τις λαγῶν διώξᾱς ἐκράτησε· καὶ ποτὲ μὲν ἔδακνε, ποτὲ δὲ σαίνων ἐφίλει. καὶ ὁ λαγῶς εἶπεν· "Εἰ μὲν φίλος εἶ, τί δάκνεις; εἰ δὲ ἐχθρός, τί σαίνεις οὐράν;"

—Ἐκ τῆς τῶν Αἰσωπείων Μύθων Συναγωγῆς, 229 H.

ΣΧΟΛΙΑ

2. ἔδακνε *he was biting, he would bite.* ἐφίλει *he would caress, kiss, lick.* § 135.

ΠΡΟΣΘΗΚΗ

ΟΡΝΙΣ ΧΡΥΣΟΤΟΚΟΣ

Ὄρνῑν ἀνήρ τις εἶχεν ᾠὰ χρῡσᾶ τίκτουσαν· καὶ νομίσᾱς ἔνδον αὐτῆς ὄγκον χρῡσοῦ εἶναι, ἀπο-κτείνᾱς εὗρεν ὁμοίᾱν οὖσαν τοῖς ἄλλοις ὄρνῑσι. ὃ δὲ ἀθρόον πλοῦτον ἐλπίσᾱς εὑρήσειν καὶ τοῦ μῑκροῦ ἐστέρηται ἐκείνου.

ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς παρ-οῦσιν ἀγαθοῖς ἀρκεῖσθαι καὶ τὴν ἀπληστίᾱν φεύγειν.

—Ἐκ τῆς αὐτῆς, 343 H.

ΣΧΟΛΙΑ

1. ὄρνῑν, Acc. of ὄρνῑς.
3. εὗρεν ὁμοίᾱν οὖσαν *he found it similar* (lit., *being like*).
4. ἐλπίσᾱς *expecting* (ἐλπίζω).
5. ἐστέρηται *he is deprived.*

ΠΑΙΣ ΨΕΥΣΤΗΣ

Παῖς τις πρόβατα νέμων, ὡς λύκον ἐρχόμενον πρὸς διαφθορὰν ὁρῶν, ἐπι-καλούμενος τοὺς γεωργοὺς ἔλεγε· "Βοηθεῖτέ μοι· ἔρχεται λύκος." οἱ δὲ γεωργοὶ τρέχοντες τοῦτον εὕρισκον οὐκ ἀληθεύοντα. τοῦτο δὲ ποιήσαντος πολλάκις τοῦ παιδός, εὕρισκον αὐτὸν ψευδόμενον. μετὰ δὲ ταῦτα τοῦ λύκου προσερχομένου, καὶ τοῦ παιδὸς βοῶντος, "Δεῦρό μοι, λύκος," οὐκέτι τις ἐπίστευεν οὐδ' ἐβοήθησεν. ὁ δὲ λύκος πᾶσαν τὴν ποίμνην δι-έφθειρεν εὐκόλως.

ὁ μῦθος δηλοῖ, ὅτι τοσοῦτον ὄφελος τῷ ψεύστῃ, ὅτι καὶ ἀληθῆ λέγων πολλάκις οὐ πιστεύεται.

—Ἐκ τῆς αὐτῆς, 353 H.

XLIX. ἑνὸς δέοντες πεντήκοντα. μθʹ

Τὸ Τετταρακοστὸν Μάθημα καὶ Ἔνατον

Review Lessons XLVII–XLVIII, and Exercise 35.

Conjugate: **ἐδίδαξα** *I taught;* **ἐδοκίμασα** *I approved;* **ἐνόμισα** *I believed.*

Learn the conjugation of the First Aorist Middle: **ἐλῡσάμην** *I loosed for myself,* § 79 B; **ἀπ-εκρῑνάμην** *I answered,* § 85 B.

Note that the first aorist middle participle is declined exactly like a first-second-declension adjective; see Lesson XXI. Decline: **βουλευσάμενος -η -ον** *deliberating, having deliberated;* **ἀποκρῑνάμενος -η -ον** *answering, having answered.*

Review the declension of **ἅρμα**, § 32, and of **πόλις**, § 36.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

βουλεύω, *βουλεύσω*, *ἐβούλευσα*, also **βουλεύομαι**, *βουλεύσομαι*, *ἐβουλευσάμην* *take counsel, deliberate.*

δεῖ *ought.* Infin. *δεῖν.*

διδάσκω, *διδάξω*, *ἐδίδαξα* *teach.*

δοκιμάζω, *δοκιμάσω*, *ἐδοκίμασα* *approve.*

ἐπι-θῡμέω, *ἐπι-θῡμήσω*, *ἐπ-εθῡμησα* *desire* (Gen. or Infin.).

κρατέω, *κρατήσω*, *ἐκράτησα* *rule, hold sway over* (Gen.).

φράζω, *φράσω*, *ἔφρασα* *point out, tell.*

χρή *(one) must, (one) ought.* A synonym of *δεῖ.*

(β)

Ἀλκιβιάδης (ὁ) *Alcibiades.* Voc. Ἀλκιβιάδη. See § 28 C.

νὴ Δία = *ναὶ μὰ Δία* (yes) *by Zeus!*

νόμος (ὁ) *custom, law.*

ὀλιγαρχίᾱ (ἡ) *oligarchy.*

ὀλίγος -η -ον *small.* Pl. *few.*

ὅπου *where.* *Cf.* *ποῦ;*

ὅσος -η -ον *as great as, as much as.* Pl. *as many as.*

Περικλῆς (ὁ) *Pericles.* Voc. **Περίκλεις**.

πότερον . . . ἤ *whether . . . or.* § 178, II, c.

πρᾶγμα (τό), G. *πράγματος* *deed, thing, matter.*

πρὸς τῶν θεῶν *by the gods!*

χαλεπός -ή -όν *difficult.*

ὥσπερ *just as.*

The following brief dialogue (see also Lesson L) is a conversation between the youthful Alcibiades and his distinguished uncle Pericles. It is taken from Xenophon's *Memorabilia of Socrates*, I, 2.

Alcibiades was handsome, brilliant, dissolute. Grote says of him: "His violent passions, love of enjoyment, ambition of preëminence, and insolence towards others, were manifested at an early age, and never deserted him throughout his life. . . . The anecdotes which fill his biography reveal the utter absence of both these constituent elements of morality [self-restraint and regard for the welfare of others]; and though, in regard to the particular stories, allowance must doubtless be made for scandal and exaggeration, yet the general type of character stands plainly marked and sufficiently established in all."

ΤΙ ΕΣΤΙ ΝΟΜΟΣ; Α'

Εἰπέ μοι, ὦ Περίκλεις, ἔχοις ἄν με διδάξαι τί ἐστι νόμος;

Πάντως δήπου.

Δίδαξον δὴ πρὸς τῶν θεῶν.

'Αλλ' οὐδέν τι χαλεποῦ πράγματος ἐπι-θῡμεῖς, ὦ 'Αλκιβιάδη, βουλόμενος γνῶναι τί ἐστι νόμος. πάντες γὰρ οὗτοι νόμοι εἰσὶν οὓς τὸ πλῆθος συν-ελθὸν καὶ δοκιμάσαν ἔγραψε, φράζον ἅ τε δεῖ ποιεῖν καὶ ἃ μή.

Πότερον δὲ τἀγαθὰ νομίσαν δεῖν ποιεῖν ἢ τὰ κακά;

Τἀγαθά, νὴ Δία, τὰ δὲ κακὰ οὔ.

'Εὰν δὲ μὴ τὸ πλῆθος, ἀλλ' ὅπου ὀλιγαρχίᾱ ἐστίν, ὀλίγοι συν-ελθόντες γράψωσιν ὅ τι χρὴ ποιεῖν, ταῦτα τί ἐστιν;

Πάντα ὅσα ἂν τὸ κρατοῦν τῆς πόλεως βουλευσάμενον ἃ χρὴ ποιεῖν γράψῃ, νόμος καλεῖται.

ΣΧΟΛΙΑ

1. *ἔχοις ἂν διδάξαι could you teach;* see Exer. 5, iv.
6. *γνῶναι to know.* Aor. Infin. of *γιγνώσκω*, § 86 B.
7. *τὸ πλῆθος the people, plebs.*
7. *συν-ελθόν having come together* (neut. sing.).
8. *ἔγραψε enacted.* Transl. *enacts.* *Cf.* Gnomic Aorist, § 136.
14. *συν-ελθόντες having come together* (masc. pl.).
16. *τὸ κρατοῦν τῆς πόλεως the ruling power in the city (state).*

L. *πεντήκοντα.* *ν'*

Τὸ Πεντηκοστὸν Μάθημα

Χρήματα, χρήματ' ἀνήρ.
—Π*ίνδαρος*, 'Ι*σθ.* II, 11.

Review Lesson XLIX, the First Declension, § 28, and Comparison by **-ῑων**, **-ιστος**, §§ 47, 48.

Learn the declension of **πᾶς**, § 43, and of **πολύς**, § 45.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἀναγκάζω, ἀναγκάσω, ἠνάγκασα *compel.*

βιάζομαι, βιάσομαι, ἐβιασάμην *force, overpower by force.*

δοκέω, δόξω, ἔδοξα[1] *suppose, seem* (to one).

πείθω, πείσω, ἔπεισα *persuade.*

(β)

ἀνομίᾱ (ἡ) *lawlessness.*

βίᾱ (ἡ) *force, violence.*

δεινός -ή -όν *terrible, clever.*

ἥττων ἧττον *less, inferior.*

κρείττων κρεῖττον *better, superior.*

πᾶς πᾶσα πᾶν *all, every.* **τὸ πᾶν** *the whole.*

πολίτης (ὁ) *citizen.*

πολύς πολλή πολύ *much.* Pl. *many.*

τηλικοῦτος τηλικαύτη τηλικοῦτον *of such an age, so old, so young.*

τύραννος (ὁ) *an absolute ruler, tyrant.*

χρῆμα (τό) *thing.* **χρήματα** (τά) *property, money.*

ΤΙ ΕΣΤΙ ΝΟΜΟΣ; Β′

Καὶ ἐὰν τύραννος οὖν κρατῶν τῆς πόλεως γράψῃ τοῖς πολίταις ἃ χρὴ ποιεῖν, καὶ ταῦτα νόμος ἐστί;

Καὶ ὅσα τύραννος ἄρχων γράφει, καὶ ταῦτα νόμος καλεῖται.

Βίᾱ δὲ καὶ ἀνομίᾱ τί ἐστιν, ὦ Περίκλεις; ἆρ᾽ οὐχ ὅταν ὁ κρείττων τὸν ἥττω μὴ πείσᾱς, ἀλλὰ βιασάμενος, ἀναγκάσῃ ποιεῖν ὅ τι ἂν αὐτῷ δοκῇ;

Ἔμοιγε δοκεῖ.

Καὶ ὅσα ἄρα τύραννος μὴ πείσᾱς τοὺς πολίτᾱς ἀναγκάζει ποιεῖν γράφων, ἀνομίᾱ ἐστίν;

Δοκεῖ μοι. ἀνα-τίθεμαι γὰρ τὸ ὅσα τύραννος μὴ πείσᾱς γράφει νόμον εἶναι.

Ὅσα δὲ οἱ ὀλίγοι τοὺς πολλοὺς μὴ πείσαντες, ἀλλὰ κρατοῦντες γράφουσι, πότερον βίᾱν φῶμεν εἶναι, ἢ μὴ φῶμεν;

Πάντα μοι δοκεῖ, ὅσα τις μὴ πείσᾱς ἀναγκάζει τινὰ ποιεῖν, εἴτε γράφων εἴτε μή, βίᾱ μᾶλλον ἢ νόμος εἶναι.

Καὶ ὅσα ἄρα τὸ πᾶν πλῆθος κρατοῦν τῶν τὰ χρήματα ἐχόντων γράφει μὴ πεῖσαν, βίᾱ μᾶλλον ἢ νόμος ἂν εἴη;

Μάλα τοι, ὦ Ἀλκιβιάδη, καὶ ἡμεῖς, τηλικοῦτοι ὄντες, δεινοὶ τὰ τοιαῦτα ἦμεν.

ΣΧΟΛΙΑ

11. ἀνα-τίθεμαι τὸ . . . νόμον εἶναι *I retract the (statement that) . . . is law.*

14. φῶμεν; *are we to say?* (φημί, § 94.)

19. τὸ πᾶν πλῆθος. See Lesson XLIX, ΣΧΟΛΙΑ.

22. *μάλα τοι certainly, exactly so, very prettily done.* *ἡμεῖς* used modestly for *ἐγώ*. *τηλικοῦτοι ὄντες when we were of such an age* (as you).
23. *δεινοὶ τὰ τοιαῦτα clever at such things.*

LI *πεντήκοντα εἷς. να´*

Τὸ Πρῶτον καὶ Πεντηκοστὸν Μάθημα

The Verb: the Perfect Active, §§ 58, 65, 66, 137.

Learn the perfect active of **λύω**, § 79 A, and the declension of the perfect active participle (§§ 75, 50 C) as follows: **λελυκώς** *having loosed;* **γεγραφώς** *having written.*

S.	N. V.	λελυκώς	λελυκυῖα	λελυκός
	G.	λελυκότος	λελυκυίᾱς	λελυκότος
	D.	λελυκότι	λελυκυίᾳ	λελυκότι
	A.	λελυκότα	λελυκυῖαν	λελυκός
P.	N. V.	λελυκότες	λελυκυῖαι	λελυκότα
	G.	λελυκότων	λελυκυιῶν	λελυκότων
	D.	λελυκόσι(ν)	λελυκυίαις	λελυκόσι(ν)
	A.	λελυκότας	λελυκυίᾱς	λελυκότα

S.	N. V.	γεγραφώς	γεγραφυῖα	γεγραφός
	G.	γεγραφότος	γεγραφυίᾱς	γεγραφότος
	D.	γεγραφότι	γεγραφυίᾳ	γεγραφότι
	A.	γεγραφότα	γεγραφυῖαν	γεγραφός
P.	N. V.	γεγραφότες	γεγραφυῖαι	γεγραφότα
	G.	γεγραφότων	γεγραφυιῶν	γεγραφότων
	D.	γεγραφόσι(ν)	γεγραφυίαις	γεγραφόσι(ν)
	A.	γεγραφότας	γεγραφυίᾱς	γεγραφότα

Like **λέλυκα** conjugate: **μεμάθηκα** *I have learned* (*μανθάνω*); **πεποίηκα** *I have made, done* (*ποιέω*); **ἠρώτηκα** *I have asked* (*ἐρωτάω*); **ἑώρᾱκα** *I have seen* (*ὁράω*, with double augment, § 57); **εἴρηκα** *I have spoken* (*λέγω*); **ἔγνωκα** *I know* (*γιγνώσκω*, see § 137); **τέθνηκα** *I am dead* (*θνῄσκω*, *ἀπο-θνῄσκω*, see § 137); and, omitting the **κ**, §§ 66, 137:

γέγραφα *I have written* (*γράφω*); **γέγονα** *I have become, I am* (*γίγνομαι*, § 137); **ἀκήκοα** *I have heard* (*ἀκούω*).

Herewith Exercise 36.

LII. *πεντήκοντα καὶ δύο.* *νβ´*

Τὸ Πεντηκοστὸν καὶ Δεύτερον Μάθημα

Μέμνησο νέος ὢν ὡς γέρων ἔσῃ ποτέ. — Μένανδρος.

The Verb: Learn the present and past-imperfect indicative of **φημί** *I declare, say*, § 94; also the perfect and pluperfect middle (passive) of **λύω**, § 79 B: **λέλυμαι, ἐλελύμην** *I have* (Plpf. *had*) *loosed for myself, I have* (*had*) *been loosed.* See also §§ 67 and 78 h (3).

Herewith Exercise 37.

Like **λέλυμαι** conjugate: **βεβούλευμαι** *I have deliberated;* **κέκτημαι** *I possess* (i.e. *have acquired*); **μέμνημαι** *I remember* (i.e. *have reminded myself*); **πεποίημαι** *I have made* or *done* (*for myself*), *have been made* or *done.*

If the verb-root ends in a consonant, certain euphonic changes are necessary; see §§ 17, 18, 67. Learn the following: **βέβλαμμαι** (for **βεβλαβμαι*) *I have been injured* (*βλάπτω*, rt. *βλαβ-*); **δέδεγμαι** (for **δεδεχμαι*) *I have received* (*δέχομαι*, rt. *δεχ-*); **πέπυσμαι** (for **πεπυθμαι*) *I have learned* (by report or inquiry), from *πυνθάνομαι*, rt. *πευθ-*, *πυθ-*.

Indicative

S. 1.	βέβλαμμαι	δέδεγμαι	πέπυσμαι
2.	βέβλαψαι	δέδεξαι	πέπυσαι
3.	βέβλαπται	δέδεκται	πέπυσται
P. 1.	βεβλάμμεθα	δεδέγμεθα	πεπύσμεθα
2.	βέβλαφθε	δέδεχθε	πέπυσθε
3.	βεβλαμμένοι εἰσί	δεδεγμένοι εἰσί	πεπυσμένοι εἰσί

SUBJUNCTIVE

S. 1.	**βεβλαμμένος ὦ**	**δεδεγμένος ὦ**	**πεπυσμένος ὦ**
	κτλ.	κτλ.	κτλ.

OPTATIVE

S. 1.	**βεβλαμμένος εἴην**	**δεδεγμένος εἴην**	**πεπυσμένος εἴην**
	κτλ.	κτλ.	κτλ.

IMPERATIVE [1]

INFINITIVE

βεβλάφθαι	**δεδέχθαι**	**πεπύσθαι**

PARTICIPLE

βεβλαμμένος	**δεδεγμένος**	**πεπυσμένος**

Like **πέπυσμαι** conjugate **ἐπι-λέλησμαι** (for **ἐπι-λεληθ-μαι*) *I have forgotten*, from (*ἐπι-λανθάνομαι* or *ἐπι-λήθομαι*) *forget* (rt. λῃθ-, λαθ-).

ONOMATA TE KAI PHMATA

(a)

ἀπο-κρίνομαι, *ἀπο-κρινοῦμαι, ἀπ-εκρῑνάμην, ἀπο-κέκριμμαι answer.*

βουλεύομαι, *βουλεύσομαι, ἐβουλευσάμην, βεβούλευμαι deliberate.*

δέχομαι, *δέξομαι, ἐδεξάμην, δέδεγμαι receive.*

δι-ηγέομαι, *δι-ηγήσομαι, δι-ηγησάμην describe, narrate.*

κτάομαι, *κτήσομαι, ἐκτησάμην, κέκτημαι get possession of, acquire,* Pf. *possess.*

μέμνημαι *remember.* Imper. *μέμνησο.* Infin. *μεμνῆσθαι.* Part. *μεμνημένος.*

φημί *declare, say.* § 94.

[1] Forms of the perfect middle (passive) imperative are rare, and are chiefly of the third person singular, as *εἰρήσθω let it have been said.* But when the perfect has a present meaning, as in *μέμνημαι I remember*, second person singular and plural imperative forms are not uncommon, as *μέμνησο* (pl. *μέμνησθε*) *remember.* In other verbs these forms are very rare.

(β)

ἐπιεικῶς *reasonably, fairly.*
ἰσχῡρός *ά- -όν strong, stubborn, violent.*
καὶ μὴν . . . γε *and indeed, and yet.* § 192.
μάχη (ἡ) *battle.*
νέος νέᾱ νέον *new, fresh, young.*
οὑτωσί = *οὕτως.*
ποτέ *sometime.*
πω *yet.* οὐ . . . πω *not yet.*
σαφῶς *clearly.*
ὡς *as, that.*

1. Οὐ βουλεύεσθαι ἔτι ὥρᾱ, ἀλλὰ βεβουλεῦσθαι. — Πλάτων, Κρίτων, 46 A.

2. "Τί βουλεύεσθε ποιεῖν;" "Οὐδέν," ἔφη, "ἀλλὰ βεβουλεύμεθα." — Πλάτων, Χαρμίδης, 176 C.

3. "Ὦ Σώκρατες," ἔφη, "πῶς ἐσώθης ἐκ τῆς μάχης;" Καὶ ἐγὼ πρὸς αὐτὸν ἀπο-κρῑνόμενος, "Οὑτωσί," ἔφην, "ὡς σὺ ὁρᾷς." "Καὶ μὴν ἤγγελταί γε δεῦρο," ἔφη, "ἥ τε μάχη πάνυ ἰσχῡρᾱ̀ γεγονέναι καὶ ἐν αὐτῇ πολλοὺς τεθνάναι." "Καὶ ἐπιεικῶς," ἦν δ' ἐγώ, "ἀληθῆ ἤγγελται." "Δεῦρο δή," ἔφη, "καθ-εζόμενος ἡμῖν δι-ήγησαι· οὐ γάρ τί πω πάντα σαφῶς πεπύσμεθα." — Ἐκ τοῦ αὐτοῦ, 153 B, C.

ΣΧΟΛΙΑ

3. *πῶς ἐσώθης;* *how were you saved, how did you escape?* *ἤγγελται* *has been reported.* Perfect middle (passive) of *ἀγγέλλω*. **τεθνάναι** = *τεθνηκέναι.*

LIII. τρεῖς καὶ πεντήκοντα. νγ΄

Τὸ Πεντηκοστὸν καὶ Τρίτον Μάθημα

Δωρεὰν ἐλάβετε, δωρεὰν δότε.
— Ἐκ τοῦ εὐαγγελίου τοῦ κατὰ Μαθθαῖον, Ι΄, η.

Ὁ κόσμος σκηνή, ὁ βίος πάροδος· ἦλθες, εἶδες, ἀπ-ῆλθες. — Λόγος ἀνώνυμος.

Uses of the Aorist: *Gnomic* Aorist, § 136.

The Second Aorist: The vast majority of verbs in Greek form the aorist stem by adding the suffix **-σα** or **-α**, and this formation is accordingly known as the *First* or *Sigmatic* Aorist.

Another group of verbs, fewer in number, but of great frequency, do not add a suffix to form the aorist, but employ the verb-root (regularly in its *shortest* form, if the root appear in more than one form). The aorists of these verbs accordingly are known as *Second* or *Root* Aorists. They are either (a) *thematic* or (b) *non-thematic* in formation (§ 53).

In this lesson we shall consider only the *thematic* second aorists. See § 63 and for the conjugation, § 84.

Herewith Exercise 38.

Master the following verbs and forms:

ἀπο-θνῄσκω, F. **ἀπο-θανοῦμαι**, A. **ἀπ-έθανον**, Pf. **τέθνηκα** *die* (*θαν-*).

A. **ἀπ-έθανον ἀπο-θάνω ἀπο-θάνοιμι ἀπό-θανε ἀπο-θανεῖν ἀπο-θανών.**

βάλλω, F. **βαλῶ**, A. **ἔβαλον**, Pf. **βέβληκα** *throw, pelt* (*βελ- βολ- βαλ-*).

ἔβαλον βάλω βάλοιμι βάλε βαλεῖν βαλών.

εἶπον *I said* (serves as an aorist to λέγω or φημί) (ϝεπ-).

εἶπον (for ἔ-ϝεπον) **εἴπω**[1] **εἴποιμι εἰπέ εἰπεῖν εἰπών.**

ἦλθον *I came, went* (serves as aorist to ἔρχομαι) (ἐλυθ- ἐλθ-).

ἦλθον ἔλθω ἔλθοιμι ἐλθέ ἐλθεῖν ἐλθών.

εὑρίσκω, F. **εὑρήσω**, A. **εὗρον** or **ηὗρον**, Pf. **εὕρηκα** or **ηὕρηκα** *find*. *Cf.* eureka.

εὗρον (ηὗρον) εὕρω εὕροιμι εὑρέ εὑρεῖν εὑρών.

[1] *εἴπω.* The augment is irregularly retained throughout the moods. § 57

εἶδον *I saw* (serves as aorist to *ὁράω*) (*ϝειδ- ϝοιδ- ϝιδ-*; *cf.* *οἶδα* (*I have seen*) *I know*).

εἶδον ἴδω ἴδοιμι ἰδέ and **ἴδε ἰδεῖν ἰδών.**

λαμβάνω, F. **λήψομαι**, A. **ἔλαβον**, Pf. **εἴληφα** *take, receive* (*ληβ- λᾰβ-*).

ἔλαβον λάβω λάβοιμι λαβέ λαβεῖν λαβών.[1]

λείπω, F. **λείψω**, A. **ἔλιπον**, Pf. **λέλοιπα** *leave* (*λειπ- λοιπ- λῐπ-*).

ἔλιπον λίπω λίποιμι λίπε λιπεῖν λιπών.

μανθάνω, F. **μαθήσομαι**, A. **ἔμαθον**, Pf. **μεμάθηκα** *learn* (*μᾰθ-*).

ἔμαθον μάθω μάθοιμι μάθε μαθεῖν μαθών.

γίγνομαι, F. **γενήσομαι**, A. **ἐγενόμην**, Pf. **γέγονα** *become* (*γεν- γον- γα-*).

ἐγενόμην γένωμαι γενοίμην γενοῦ γενέσθαι γενόμενος.

ἐπι-λανθάνομαι or **ἐπι-λήθομαι**, F. **ἐπι-λήσομαι**, A. **ἐπ-ελαθόμην**, Pf. **ἐπι-λέλησμαι** *forget* (*ληθ- λᾰθ-*).

ἐπ-ελαθόμην ἐπι-λάθωμαι ἐπι-λαθοίμην ἐπι-λαθοῦ ἐπι-λαθέσθαι ἐπι-λαθόμενος.

LIV. *πεντήκοντα τέτταρες.* *νδ΄*

Τὸ Τέταρτον καὶ Πεντηκοστὸν Μάθημα

Review Lesson LIII, and add to the list of verbs given therein:

ἔρχομαι, F. **εἶμι** (§ 93), A. **ἦλθον**, Pf. **ἐλήλυθα** *come* (or *go*).

φέρω, F. **οἴσω** (§ 61 f.), A. **ἤνεγκον** (Infin. *ἐνεγκεῖν*) *bear.*

The *Articular* Infinitive, § 172, II a (top of page 326).

[1] Observe that the last five verbs accent the aorist imperative (second person singular) on the last syllable. *ἰδέ* means *behold!* But in compounds the accent is regular; *ἄπ-ελθε* *go away!*

Temporal Clauses with **ἕως ἄν** *until*, **οὐ . . . πρὶν ἄν** *not before* (=*until*), etc., with the Subjunctive, §§ 170, 3 b; 160 b: **ἕως ἂν ἐπ-αν-έλθῃ** *until it come back again.*

Accusative of Time (*extent* of time), § 113 f: **τριάκοντα ἡμέρᾱς** *for thirty days;* **τὸν χρόνον τοῦτον** *during this time.*

Genitive of Time (*within which* an action occurs), § 119: **ἐκείνου τοῦ μηνός** *in that month.*

The Prepositions **διά**, § 127 a; **μετά**, § 129 c.

ONOMATA TE KAI PHMATA

(α)

ἐάω, *ἐάσω* *allow.* § 82.
ἐπ-αν-έρχομαι, Aor. *ἐπ-αν-ῆλθον* *come* (or *go*) *back again.*
μνημονεύω *-σω -σα* *remember.*
ὁμολογέω *-ήσω* *agree.* **ὁμολογεῖται** *it is conceded.*

(β)

ἀνάγκη (*ἡ*) *necessity.*
Δῆλος (*ὁ*) *Delos* (ΣΧΟΛΙΑ).
δημοσίᾳ. See ΣΧΟΛΙΑ.
ἔμπροσθεν *before, earlier, former.*
θεωρίᾱ (*ἡ*) *a viewing, an embassy* or *mission.*
κρίσις (*ἡ*) *decision, trial.* § 36.
μήν (*ὁ*) Gen. *μηνός* *month.*
φανερός *-ά -όν* *manifest* (ΣΧΟΛΙΑ).

In the year 399 B.C. Socrates was brought to trial on the specious charges of (*a*) impiety, (*b*) corrupting young men, and was condemned to death. Because of the sacred embassy to Delos (see below) thirty days elapsed between the trial and the execution of the sentence. Socrates' noble bearing during these days and his calm indifference to death made a deep impression upon his friends. The testimony of Xenophon (*Memorabilia of Socrates*, IV, 8, 2) is, in part, as follows:

Ὁμολογεῖται οὐδένα πω τῶν μνημονευομένων ἀνθρώπων κάλλῑον θάνατον ἐνεγκεῖν. ἀνάγκη μὲν γὰρ ἐγένετο αὐτῷ μετὰ τὴν κρίσιν τριάκοντα ἡμέρᾱς βιῶναι διὰ τὸ Δήλια μὲν ἐκείνου τοῦ μηνὸς εἶναι, τὸν δὲ νόμον μηδένα ἐὰν δημοσίᾳ ἀπο-θνῄσκειν ἕως ἂν ἡ θεωρίᾱ ἐκ Δήλου ἐπ-αν-έλθῃ. καὶ τὸν

χρόνον τοῦτον ἅπᾶσι τοῖς συνήθεσι φανερὸς ἐγένετο οὐδὲν ἀλλοιότερον δια-βιοὺς ἢ τὸν ἔμπροσθεν χρόνον. καὶ πῶς ἄν τις κάλλῖον ἢ οὕτως ἀπο-θάνοι;

ΣΧΟΛΙΑ

4. *βιῶναι to live.* For the form *cf.* *γνῶναι*, § 86 B.

4 f. *Δήλια*, a solemn embassy sent annually to the sacred island of Delos (see Lesson LVII, ΣΧΟΛΙΑ). During its absence from Athens persons condemned to death were not executed. *δημοσίᾳ by public execution.* *διὰ τὸ Δήλια . . . εἶναι because (of the fact that) the D . . . occurred and (δέ) the law allowed*, etc. Before *νόμον* supply *διὰ τό*. *τὸ* (*τὰ*) *Δήλια εἶναι* and (*τὸ τὸν*) *νόμον . . . ἐᾶν* are examples of the infinitive used with the article, § 172, II a; the subjects of the infinitives are in the accusative case, § 172, II.

7. *τοῖς συνήθεσι φανερὸς ἐγένετο . . . δια-βιοὺς to his companions he became manifest . . . passing the time.* Transl. *All his associates observed that he passed the time in the same way as*, etc. *οὐδὲν ἀλλοιότερον ἢ not at all in a different way than.* *Cf.* § 176 d.

ΠΡΟΣΘΗΚΗ

1. Τὸν εὐτυχεῖν δοκοῦντα μὴ ζήλου, πρὶν ἂν
θανόντ' ἴδῃς.—Εὐριπίδης, Ἡρᾶκλεῖδαι, 865–866.

2. Θνητῶν δὲ μηδεὶς μηδέν' ὄλβιόν ποτε
κρίνῃ, πρὶν αὐτὸν εὖ τελευτήσαντ' ἴδῃ.
—Διονύσιος ὁ τραγῳδοποιός, Ἀπ. 3 N².

ΣΧΟΛΙΑ

1. *μὴ ζήλου do not envy, deem happy.* (*ζηλόω.* *Cf.* *δηλόω*, § 83.) *θανόντα* = *ἀπο-θανόντα.*

2. *μηδεὶς . . . κρίνῃ*, § 157 b.
πρὶν (= *πρὶν ἂν*) *ἴδῃ . . . εὖ τελευτήσαντα.* *εὖ* = *καλῶς.* *εὖ τελευτᾶν to die under favorable circumstances*, as in battle, or in the midst of prosperity, etc.

The thought expressed in these two fragments occurs with great frequency in ancient Greek literature.

LV. πεντήκοντα πέντε. νε´

Τὸ Πέμπτον καὶ Πεντηκοστὸν Μάθημα

Review the conjugation of **ἀπ-εκρῑνάμην**, § 85 B and of **ἐγενόμην**, § 84 B; and add to the list of verbs in Lesson LIII the following:

ἀφ-ικνέομαι, F. **ἀφ-ίξομαι**, A. **ἀφ-ῑκόμην**, Pf. **ἀφ-ῖγμαι** *arrive* (ἱκ-).

ἀφ-ῑκόμην ἀφ-ίκωμαι ἀφ-ικοίμην ἀφ-ικοῦ ἀφ-ικέσθαι ἀφ-ικόμενος.

ἐρωτάω, F. **ἐρωτήσω** and **ἐρήσομαι**, A. **ἠρώτησα** and **ἠρόμην**, Pf. **ἠρώτηκα** *ask* (a question).

ἠρόμην ἔρωμαι ἐροίμην ἐροῦ ἐρέσθαι ἐρόμενος.

πίνω, F. **πίομαι**, A. **ἔπιον**, Pf. **πέπωκα** *drink* (πι-, πω-, πο-).

ἔπιον πίω πίοιμι πίε and **πῖθι πιεῖν πιών.**

The adverbial Particle **ἄν**, § 145, especially with the past-imperfect and past-aorist indicative, § 145, I A, a–b.

Unreal or *Contrary to Fact* Conditional Sentences, § 152.

Herewith Exercise 39.

ΠΡΟΣΘΗΚΗ

1. *τί εἶπες;* 2. *τί ἂν εἶπες;* 3. *εἰ τοῦτ᾽ ἠρόμην, τί ἂν εἶπες;* 4. *τί ἂν ἀπ-εκρίνω;* 5. *εἰ ταῦτ᾽ ἠρόμεθα, τί ἂν ἀπ-εκρίνω;* 6. *τίνες ἀπ-έθανον;* 7. *τίνες ἂν ἀπ-έθανον;* 8. *οὐδεὶς ἂν ἀπ-έθανεν.* 9. *οὐδεὶς ἀφ-ίκετο.* 10. *οὐδεὶς ἂν ἀφ-ίκετο.* 11. *εἰ μὴ σὺ ἀφ-ίκου, πάντες ἀπ-έθανον ἄν.* 12. *εἰ τοῦτ᾽ ἐπίομεν, πάντες ἂν ἀπ-εθνῄσκομεν.* 13. *εἰ μηδεὶς ἀφ-ίκετο, τοῦτ᾽ ἂν ἤρεσθε;* 14. *εἰ μὴ ἀφ-ῑκόμην,*

ἆρ᾽ ἂν οἴκαδ᾽ ἀπ-ήλθετε; 15. εἰ χρήματ᾽ εἴχομεν, φίλους ἂν εἴχομεν. 16. μέγ᾽ ἂν ἐνομίζομεν κέρδος, εἰ ἀλλήλοις ὠφέλιμοι ἐγιγνόμεθα. 17. εἰ καλῶς ζῆν ἤθελες, οὐκ ἂν τὰ τῶν φαύλων ἐφρόνεις. 18. εἴ τις καλῶς ἀκούειν ἐβούλετο, ἐμάνθανεν ἂν καλῶς λέγειν. 19. εἰ λίαν ἐφίλεις σεαυτόν, οὐκ ἂν φίλον εἶχες. 20. εἰ ἐβούλου λαβὼν τὴν μάστῑγα τύπτειν τοὺς ἵππους, οὐκ ἄν σ᾽ ἐκώλυεν ὁ πατήρ; 21. εἴ σ᾽ ἐφίλει ἡ μήτηρ καὶ εὐδαίμονα σ᾽ ἐπ-εθῡ́μει γενέσθαι, ἆρα δι᾽ ἡμέρας ὅλης ἄν σ᾽ ἔτρεφεν ἀεί τῳ δουλεύοντα; 22. εἴ τίς σε ταῦτ᾽ ἤρετο, τί ἂν ἀπ-εκρῑ́νω;

LVI. πεντήκοντα ἕξ. νϛʹ

Τὸ Ἕκτον Μάθημα καὶ Πεντηκοστόν

Review Lesson LV; also the Declension of **τις**, § 27; the Preposition **πρός**, § 129 f; the Genitive of Time, § 119; the Dative of Time, § 122 a; the Double Negative, § 180 a; the Genitive Absolute, § 175 g; the Optative in Indirect Discourse, § 179, II B; the Infinitive with **οἷός τ᾽ εἰμί**, § 172, II c.

Herewith Exercise 40.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(a)

θαυμάζω, *θαυμάσομαι* *wonder.*

παρα-γίγνομαι, *παρα-γενήσομαι*, *παρ-εγενόμην* *be with* (Dat.).

πυνθάνομαι, *πεύσομαι*, *ἐπυθόμην*, *πέπυσμαι* *learn* (by inquiry, etc.), *inquire* (*πευθ-* *πυθ-*).

τελευτάω, *-ήσω*, *-ησα*, *-ηκα* *bring to an end; die.*

φαίνομαι *appear.*

(β)

δεσμωτήριον (τό) *prison.*
δίκη (ἡ) *right, justice, lawsuit, trial.*
ἐκεῖθεν *from there.*
ἡδέως *gladly. Cf.* ἡδύς.
ξένος (ὁ) *stranger, foreigner.*
οὐδεὶς πάνυ τι *no one at all.*
πάλαι *long ago.*
πλήν *except.*
πολλῷ ὕστερον *much later. Cf.* § 121.
σαφής σαφές *clear. Cf.* σαφῶς.
συχνός = πολύς.
τρόπος (ὁ) *turn, way, manner.* **ὃν τρόπον** *in what way.*
φάρμακον (τό) *drug, poison.*

The *Phaedo* of Plato describes the death of Socrates, and relates the discussion concerning immortality which he held on the last day with certain of his friends. The dialogue begins with a conversation between Phaedo, a devoted friend of Socrates, and a certain Echecrates of Phliasia, a district near Corinth. Plato was deeply moved by the death of Socrates and seems to have written the *Phaedo* as a memorial to his friend.

ΤΟ ΜΕΜΝΗΣΘΑΙ ΣΩΚΡΑΤΟΥΣ ΗΔΙΣΤΟΝ. Α'

Αὐτός, ὦ Φαίδων, παρ-εγένου Σωκράτει ἐκείνῃ τῇ ἡμέρᾳ ᾗ τὸ φάρμακον ἔπιεν ἐν τῷ δεσμωτηρίῳ, ἢ ἄλλου του ἤκουσας;

Αὐτός, ὦ Ἐχέκρατες.

Τί οὖν δή ἐστιν ἅττα εἶπεν ὁ ἀνὴρ πρὸ τοῦ θανάτου; καὶ πῶς ἐτελεύτᾱ; ἡδέως γὰρ ἂν ἐγὼ ἀκούσαιμι. καὶ γὰρ οὔτε τῶν πολῑτῶν Φλειασίων οὐδεὶς πάνυ τι ἐπι-χωριάζει τὰ νῦν Ἀθήναζε, οὔτε τις ξένος ἀφ-ῖκται χρόνου συχνοῦ ἐκεῖθεν, ὅστις ἂν ἡμῖν σαφές τι ἀγγεῖλαι οἷός τ' ἦν περὶ τούτων, πλήν γε δὴ ὅτι φάρμακον πιὼν ἀπο-θάνοι· τῶν δὲ ἄλλων οὐδὲν εἶχεν φράζειν.

Οὐδὲ τὰ περὶ τῆς δίκης ἄρα ἐπύθεσθε ὃν τρόπον ἐγένετο;

Ναί, ταῦτα μὲν ἡμῖν ἤγγειλέ τις, καὶ ἐθαυμάζομέν γε ὅτι πάλαι γενομένης αὐτῆς πολλῷ ὕστερον φαίνεται ἀπο-θανών. τί οὖν ἦν τοῦτο, ὦ Φαίδων;

ΣΧΟΛΙΑ

2. φάρμακον, *i.e.* hemlock.
5. ἄττα = ἅτινα, § 27 b.
7. Φλειασίων *Phliasians.* In apposition with πολῑτῶν.
8. ἐπι-χωριάζει τὰ νῦν Ἀθ. *visits Athens nowadays.*
9. χρόνου συχνοῦ. See § 119.
9. ὅστις ἂν . . . ἀγγεῖλαι οἷός τ' ἦν = ὅστις . . . οἷός τ' ἦν ἂν ἀγγεῖλαι *who could have announced (told).* See §§ 172, II c and 145, I, A b.
16. πολλῷ ὕστερον φαίνεται ἀπο-θανών *he manifestly died much later.* § 176 g (end).

LVII. ἑπτὰ καὶ πεντήκοντα. νζʹ

Τὸ Πεντηκοστὸν καὶ Ἕβδομον Μάθημα

Review Lessons XXIII, XXVII, and XXXVIII.

The Infinitive with Verbs of Thinking, § 179, I, a.

The Participle with **τυγχάνω**, § 176 c. Somewhat similar is the use of the participle with **οἴχομαι** (Past-imperfect ᾠχόμην) *am gone, have gone:* **ᾤχετο ἄγων** (see ΣΧΟΛΙΑ).

Learn the conjugation of **οἶδα**, § 95.

Herewith Exercise 41.

ONOMATA TE KAI PHMATA

(a)

ἄγω, ἄξω, ἤγαγον, ἦχα *lead.* **ἀπ-άγω** *lead away, conduct.*

ἀπο-κτείνω, ἀπο-κτενῶ, ἀπ-έκτεινα *kill.*

ἄρχομαι, ἄρξομαι, ἠρξάμην *begin* (Gen.).

εὔχομαι, εὔξομαι, ηὐξάμην *pray, vow.*

οἴχομαι. See Lesson XXXVIII.

πέμπω, -ψω, -ψα, πέπομφα *send, conduct.*

σῴζω, σώσω, ἔσωσα, σέσωκα *save.*

τυγχάνω, τεύξομαι, ἔτυχον. See Lesson XXXVIII.

(β)

ἄνεμος (ὁ) *wind.*
Ἀπόλλων (ὁ), -ωνος *Apollo.*
δίς *twice.*
ἐνιαυτός (ὁ) *year*, = ἔτος.
  κατ᾽ ἐνιαυτόν *each year.*
ἐνίοτε *sometimes.*
ἔτος (τό) *year.* § 35. **ἑκάστου ἔτους** *each year.* § 119.
πλοῖον (τό) *boat.*
προτεραίᾳ. See § 122.
πρύμνα (ἡ) *stern* (of a boat).
τύχη (ἡ) *chance, luck, fortune.*

ΤΟ ΜΕΜΝΗΣΘΑΙ ΣΩΚΡΑΤΟΥΣ ΗΔΙΣΤΟΝ. Β′

Τύχη τις αὐτῷ, ὦ Ἐχέκρατες, συν-έβη· ἔτυχε γὰρ τῇ προτεραίᾳ τῆς δίκης ἡ πρύμνα ἐστεμμένη τοῦ πλοίου, ὃ εἰς Δῆλον Ἀθηναῖοι πέμπουσιν.

Τοῦτο δὲ δὴ τί ἐστιν;

Τοῦτ᾽ ἔστι τὸ πλοῖον, ὥς φᾱσιν Ἀθηναῖοι, ἐν ᾧ Θησεύς ποτε εἰς Κρήτην τοὺς δὶς ἑπτὰ ἐκείνους ᾤχετο ἄγων καὶ ἔσωσέ τε καὶ αὐτὸς ἐσώθη. τῷ οὖν Ἀπόλλωνι ηὔξαντο, ὡς λέγεται, τότε, εἰ σωθεῖεν, ἑκάστου ἔτους θεωρίᾱν ἀπ-άξειν εἰς Δῆλον· ἣν δὴ ἀεὶ καὶ νῦν ἔτι ἐξ ἐκείνου κατ᾽ ἐνιαυτὸν τῷ θεῷ πέμπουσιν. ἐπειδὰν οὖν ἄρξωνται τῆς θεωρίᾱς, νόμος ἐστὶν αὐτοῖς ἐν τῷ χρόνῳ τούτῳ δημοσίᾳ μηδένα ἀπο-κτεῖναι, πρὶν ἂν εἰς Δῆλόν τε ἀφ-ίκηται τὸ πλοῖον καὶ πάλιν δεῦρο. τοῦτο δ᾽ ἐνίοτε ἐν πολλῷ χρόνῳ γίγνεται, ὅταν τύχωσιν ἄνεμοι ἀπο-λαβόντες αὐτούς.

ΣΧΟΛΙΑ

18. τύχη τις . . . συν-έβη *a piece of luck befell.*

18 f. ἔτυχε . . . ἐστεμμένη *chanced to have been wreathed* (with wreaths of laurel). This indicated the beginning of the festival.

23. Θησεύς. The legend was that the Athenians had agreed to send every ninth year to Minos, king of Crete, seven youths and seven maidens,

to be offered as a sacrifice to the Minotaur. On one occasion Theseus, the hero of Attica, accompanied the expedition, slew the Minotaur, and so saved his companions.

24. *ᾤχετο ἄγων he had gone leading.* Transl. *conducted.*
ἐσώθη escaped (was saved).

25. *εἰ σωθεῖεν if they should escape (be saved).*

27. *ἐξ ἐκείνου (τοῦ χρόνου).*

32. *ὅταν τύχωσιν . . . ἀπο-λαβόντες αὐτούς whenever they chance to delay them (ἀπο-λαμβάνω, -λήψομαι, -έλαβον cut off, intercept,* etc.).

LVIII. *δυοῖν δέοντες ἑξήκοντα.* *νη´*

Τὸ Ὄγδοον καὶ Πεντηκοστὸν Μάθημα

Review the conjugation of verbs in **-αω**, § 82. Conjugate **ἐάω** (Past-imperf. *εἴων*), F. **ἐάσω**, A. **εἴᾱσα** *allow,* and **τελευτάω, -ήσω, -ησα, -ηκα** *end.*

The Genitive with *Adjectives,* § 117 a; with verbs of *Remembering* and *Hearing,* § 115 h, i.

The declension of **γένος** and of **Σωκράτης**, § 35.

The Particles and Conjunctions: **γάρ** (*καὶ γάρ*), § 184; **γε**, § 185; **δή**, § 187; **ἤ**, § 188; **καί**, § 189; **ὡς**, § 197.

Herewith Exercise 42.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

στέφω, *-ψω, -ψα wreathe. Cf. ἐστεμμένη.*

σχολάζω *be at leisure.*

(β)

ἀσχολίᾱ (*ἡ*) *want of leisure, engagement.*

ἐπιτήδειος (*ὁ*) *intimate friend.*

ἔρημος *-ον destitute of* (Gen. § 117 a).

ἥδιστος *-η -ον most pleasant.* § 47 A.

ἱερεύς (*ὁ*) *priest.* § 37.

μεταξύ *between* (Gen. § 130 a).

ὡς σαφέστατα *as clearly as possible.* § 197 a.

σχολή (*ἡ*) *leisure.*

ΤΟ ΜΕΜΝΗΣΘΑΙ ΣΩΚΡΑΤΟΥΣ ΗΔΙΣΤΟΝ. Γ´

Ἀρχὴ δ᾽ ἐστὶ τῆς θεωρίᾱς, ἐπειδὰν ὁ ἱερεὺς τοῦ

Ἀπόλλωνος στέψῃ τὴν πρύμναν τοῦ πλοίου. τοῦτο δ' ἔτυχεν, ὥσπερ λέγω, τῇ προτεραίᾳ τῆς δίκης γεγονός. διὰ ταῦτα καὶ πολὺς χρόνος ἐγένετο τῷ Σωκράτει ἐν τῷ δεσμωτηρίῳ ὁ μεταξὺ τῆς δίκης καὶ τοῦ θανάτου.

Τί δὲ δὴ τὰ περὶ αὐτὸν τὸν θάνατον, ὦ Φαίδων; Τί ἦν τὰ λεχθέντα καὶ πραχθέντα, καὶ τίνες οἱ παρα-γενόμενοι τῶν ἐπιτηδείων τῷ ἀνδρί; ἢ οὐκ εἴων οἱ ἄρχοντες παρ-εῖναι, ἀλλ' ἔρημος ἐτελεύτᾱ φίλων;

Οὐδαμῶς, ἀλλὰ παρ-ῆσάν τινες, καὶ πολλοί γε.

Ταῦτα δὴ πάντα πειρῶ ὡς σαφέστατα ἡμῖν ἀπαγγεῖλαι, εἰ μή τίς σοι ἀσχολίᾱ τυγχάνει οὖσα.

Ἀλλὰ σχολάζω γε καὶ πειρᾱ́σομαι ὑμῖν δι-ηγήσασθαι. καὶ γὰρ τὸ μεμνῆσθαι Σωκράτους καὶ αὐτὸν λέγοντα καὶ ἄλλου ἀκούοντα ἔμοιγε ἀεὶ πάντων ἥδιστον.

ΣΧΟΛΙΑ

38. *ὁ μεταξὺ*, i.e. *ὁ χρόνος μεταξύ*.

40. *τὰ περὶ τὸν θάνατον the* (*events*) *concerning* (i.e. *connected with*) *the death.*

41. *τὰ λεχθέντα καὶ* (*τὰ*) *πραχθέντα the things that were said and done.*

42. *οἱ παρα-γενόμενοι those who were present with.*

43. *οἱ ἄρχοντες the officials.* These were a board of police commissioners known as *The Eleven.* They had jurisdiction over malefactors and authority over the servants of the prison.

45. *καὶ πολλοί γε yes, MANY.*

48. *δι-ηγήσασθαι.* See Lesson LII.

49. *καὶ* (*ἐμὲ*) *αὐτὸν λέγοντα both I myself speaking.* Transl. *to recall S. both when I myself speak*, etc. See § 172, II and II a (top of page 326).

LIX. ἑνὸς δέοντες ἑξήκοντα. νθʹ

Τὸ Ἔνατον καὶ Πεντηκοστὸν Μάθημα

Θαυμάζω ὅπως ποτὲ ἐπείσθησαν Ἀθηναῖοι
Σωκράτην περὶ θεοὺς μὴ σωφρονεῖν.
— Ξενοφῶν, Ἀπομν. A, I, 20.

Μὴ κρίνετε ἵνα μὴ κριθῆτε.
— Ἐκ τοῦ εὐαγγελίου τοῦ κατὰ Μαθθαῖον, ζ,ʹ αʹ.

Review Lesson LIII, and learn the aorist and future passive of **λύω** and **γράφω**, § 79 C. See also §§ 69, 70, 141, 142.

Like **ἐλύθην** conjugate: **ἐκλήθην** *was called* (καλέω), **ἐκωλύθην** *was prevented* (κωλύω), **ἐπείσθην** *was persuaded* (πείθω), **ἠρωτήθην** *was asked* (ἐρωτάω), **ἥσθην** *was delighted* (ἥδομαι), **ἐθαυμάσθην** *was admired* (θαυμάζω).

Like **ἐγράφην** conjugate: **ἐφάνην** *appeared* (φαίνω).

Herewith Exercise 43.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἀν-οίγω, ἀν-οίξω, ἀν-έῳξα, ἀν-εῴχθην *open*. For double augment see § 57 b.

δι-ημερεύω *spend the day.*

ἥκω *have come, be present.*

κρίνω, κρινῶ, ἔκρῖνα, ἐκρίθην *distinguish, judge, condemn.*

περι-μένω *wait (around), await.*

συλ-λέγω, -ξω, -ξα, συν-ελέγην *gather, collect.* Middle and passive, *come together.*

σωφρονέω *be of sound mind.*

φοιτάω, -ήσω *come (go) frequently.*

(β)

ἀκρῑβέστατα *most accurately.*

δικαστήριον (τό) *court of justice.*

ἑκάστοτε *each time.*

ἑσπέρᾱ (ἡ) *evening.* ἑσπέρᾱς, § 119.

ἕωθεν *early in the morning.*

ἕως *until.* § 170, 3.

ὅπως ποτέ *how in the world.*

πλησίον *near* (Gen.).

πρῴ *early.* Comp. πρῳαίτερον, Super. πρῳαίτατα.

ΤΟ ΜΕΜΝΗΣΘΑΙ ΣΩΚΡΑΤΟΥΣ ΗΔΙΣΤΟΝ. Δ'

Ἀλλὰ μήν, ὦ Φαίδων, καὶ τοὺς ἀκουσομένους γε τοιούτους ἑτέρους ἔχεις· ἀλλὰ πειρῶ ὡς ἂν δύνῃ ἀκρῑβέστατα δι-εξ-ελθεῖν πάντα . . .

Ἐγώ σοι, ὦ Ἐχέκρατες, ἐξ ἀρχῆς πάντα πειράσομαι δι-ηγήσασθαι. ἀεὶ γὰρ δὴ καὶ τὰς πρόσθεν ἡμέρᾱς εἰώθεμεν φοιτᾶν καὶ ἐγὼ καὶ οἱ ἄλλοι παρὰ τὸν Σωκράτη, συλ-λεγόμενοι ἕωθεν εἰς τὸ δικαστήριον, ἐν ᾧ καὶ ἡ δίκη ἐγένετο· πλησίον γὰρ ἦν τοῦ δεσμωτηρίου. περι-εμένομεν οὖν ἑκάστοτε, ἕως ἀν-οιχθείη τὸ δεσμωτήριον, δια-τρῑ́βοντες μετ' ἀλλήλων· ἀν-εῴγετο γὰρ οὐ πρῴ. ἐπειδὴ δὲ ἀν-οιχθείη, εἰσ-ῇμεν παρὰ τὸν Σωκράτη καὶ τὰ πολλὰ δι-ημερεύομεν μετ' αὐτοῦ. καὶ δὴ καὶ τότε πρῳαίτερον συν-ελέγημεν. τῇ γὰρ προτεραίᾳ ἡμέρᾳ ἐπειδὴ ἐξ-ήλθομεν ἐκ τοῦ δεσμωτηρίου ἑσπέρᾱς, ἐπυθόμεθα ὅτι τὸ πλοῖον ἐκ Δήλου ἀφ-ιγμένον εἴη. παρ-ηγγείλαμεν οὖν ἀλλήλοις ἥκειν ὡς πρῳαίτατα εἰς τὸ εἰωθός.

ΣΧΟΛΙΑ

52. τοὺς ἀκουσομένους *those who are about to hear.* Transl. *you have (in) your listeners others of like disposition.*

53. ὡς ἂν δύνῃ ἀκρῑβέστατα *as accurately as you can.* For δύνῃ see § 80.

56. τὰς πρόσθεν ἡμέρᾱς, § 113 f.

57. εἰώθεμεν *it was our custom (we were accustomed).* A pluperfect form of εἴωθα, § 137.

60. ἕως ἀν-οιχθείη τὸ δ. *until the prison should be opened.* See § 164, 3.

62. ἐπειδὴ ἀν-οιχθείη *whenever it was opened.* This is an example of the optative in temporal clauses of *indefinite frequency* in the *past.* See §§ 169 b, 170 (p. 324, near bottom).

64. *καὶ δὴ καὶ and especially.*

66. *ἑσπέρᾱς* § 119.

69. *εἰς τὸ εἰωθός to the usual (place).* *εἰωθός* is a participial form of *εἴωθα*, § 137.

LX. *ἑξήκοντα.* *ξ'*

Τὸ Ἑξηκοστὸν Μάθημα

The Verb: Review the perfect active, §§ 65, 66; the perfect middle (passive), § 67; the aorist and future passive, §§ 69, 70, 79 C.

The Meanings of the Perfect, § 137; Passive Deponents, § 141.

Review and master the following verbs:

1. ἄγω ἄξω ἤγαγον ἦχα ἤχθην.
2. ἀκούω ἀκούσομαι ἤκουσα ἀκήκοα ἠκούσθην.
3. αἰσχῡ́νω αἰσχῠνῶ ᾔσχῡνα ᾐσχύνθην.
4. βάλλω βαλῶ ἔβαλον βέβληκα ἐβλήθην (*βελ- βολ- βᾰλ-*).
5. βλάπτω βλάψω ἔβλαψα βέβλαφα ἐβλάφθην and ἐβλάβην (*βλᾰβ-*).
6. γράφω γράψω ἔγραψα γέγραφα ἐγράφην.
7. διώκω διώξω and διώξομαι ἐδίωξα ἐδιώχθην.
8. ἐρωτάω ἐρωτήσω and ἐρήσομαι ἠρώτησα and ἠρόμην ἠρώτηκα ἠρωτήθην.
9. εὑρίσκω εὑρήσω εὗρον (*ηὗρον*) εὕρηκα (*ηὕρηκα*) εὑρέθην (*ηὑ-*).
10. θαυμάζω θαυμάσομαι ἐθαύμασα τεθαύμακα ἐθαυμάσθην.
11. καλέω καλῶ (*καλέω*) ἐκάλεσα κέκληκα κέκλημαι ἐκλήθην.

12. κελεύω -σω ἐκέλευσα κεκέλευκα κεκέλευσμαι ἐκελεύσθην.
13. κωλύω κωλῡ́σω ἐκώλῡσα κεκώλῡκα ἐκωλῡ́θην.
14. λαμβάνω λήψομαι ἔλαβον εἴληφα ἐλήφθην (*ληβ- λᾰβ-*).
15. λέγω ἐρῶ εἶπον εἴρηκα λέλεγμαι ἐλέχθην (*λεγ- λογ-*).
16. λείπω λείψω ἔλιπον λέλοιπα ἐλείφθην (*λειπ- λοιπ- λῐπ-*).
17. ὁράω ὄψομαι εἶδον ἑώρᾱκα ὤφθην.
18. παύω -σω ἔπαυσα πέπαυκα ἐπαύθην.
19. πείθω πείσω ἔπεισα πέπεικα ἐπείσθην.
20. ποιέω ποιήσω ἐποίησα πεποίηκα πεποίημαι ἐποιήθην.
21. πρᾱ́ττω πρᾱ́ξω ἔπρᾱξα πέπρᾱχα and πέπρᾱγα ἐπρᾱ́χθην (*πρᾱγ-*).
22. σκοπέω σκέψομαι ἐσκεψάμην ἔσκεμμαι ἐσκέφθην (*σκεπ- σκοπ-*).
23. τρέπω τρέψω ἔτρεψα τέτροφα τέτραμμαι ἐτρέφθην (*τρεπ- τροπ- τρᾰπ-*).
24. τρέφω θρέψω ἔθρεψα τέτροφα τέθραμμαι ἐθρέφθην and ἐτράφην (*θρεφ- θροφ- θρᾰφ-*).
25. φαίνω φανῶ ἔφηνα A. P. ἐφάνην (*φᾰν-*).
26. φημί φήσω and ἐρῶ (*ἐρέω*) εἶπον.
27. φυλάττω φυλάξω ἐφύλαξα πεφύλαχα πεφύλαγμαι ἐφυλάχθην.
28. ἀφ-ικνέομαι ἀφ-ίξομαι ἀφ-ῑκόμην ἀφ-ῖγμαι (*ἱκ-*).
29. βούλομαι βουλήσομαι βεβούλημαι ἐβουλήθην.
30. γίγνομαι γενήσομαι ἐγενόμην γέγονα γεγένημαι (*γεν- γον- γᾰ-*).
31. δέομαι δεήσομαι ἐδεήθην.
32. δέχομαι δέξομαι ἐδεξάμην δέδεγμαι ἐδέχθην.
33. δια-λέγομαι δια-λέξομαι δι-είλεγμαι δι-ελέχθην.
34. φαίνομαι φανοῦμαι ἐφάνην (*φᾰν*).

LXI. εἷς καὶ ἑξήκοντα. ξα´

Τὸ Ἑξηκοστὸν Μάθημα καὶ Πρῶτον

Verbs of ***Coming, Going:***

ἀφ-ικνέομαι *arrive.* See Lesson LX.

βαδίζω βαδιοῦμαι ἐβάδισα *walk, go, come.* § 61 e.

βαίνω βήσομαι *step, walk, go, come* (*βα-, cf. βάσις*).

εἶμι *be going.* Used as the future of

ἔρχομαι, F. **ἐλεύσομαι** or (more commonly) **εἶμι, ἦλθον**, Pf. **ἐλήλῠθα** *come, go.*

ἥκω ἥξω *I am come, have come.* With the force of a perfect.

οἴχομαι οἰχήσομαι, Past Impf. **ᾠχόμην** *I am gone, have gone.* With the force of a perfect.

πορεύομαι πορεύσομαι ἐπορεύθην *proceed, go, march* (*πόρος way*).

φοιτάω -ήσω *come (go) frequently, go to and fro, go to school, etc.*

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

αν-ευφημέω *cry aloud, shriek.*

βοάω, *βοήσομαι shout, bawl.*

γιγνώσκω, *γνώσομαι recognize, know.*

εἴωθα, § 137.

κατα-λαμβάνω *seize, catch, come upon, find.*

κόπτομαι *strike oneself, beat one's breast.*

προσ-αγορεύω, *προσ-ερῶ, προσ-εῖπον address.*

ὑπ-ακούω *listen, hearken to, answer* (a knock at the door)

(β)

ἄρτι *just now. ἄρτι λελυμένον just released* (from his shackles).

δ' οὖν, § 193.

θυρωρός (ὁ) *doorkeeper.*

Κρίτων (ὁ) *-ωνος Crito*, a friend of Socrates.

ὥσπερ, § 194.

Ξανθίππη (ἡ) *Xanthippe*, the wife of Socrates.

τοιαῦτα ἄττα *(some) such things.*

ὕστατον δή *for the very last time.*

ΤΟ ΜΕΜΝΗΣΘΑΙ ΣΩΚΡΑΤΟΥΣ ΗΔΙΣΤΟΝ. Ε′

καὶ ἥκομεν καὶ ἡμῖν ἐξ-ελθὼν ὁ θυρωρός, ὅσπερ εἰώθει ὑπ-ακούειν, εἶπεν περι-μένειν καὶ μὴ πρότερον παρ-ιέναι, ἕως ἂν αὐτὸς κελεύσῃ. "Λύουσι γάρ," ἔφη, "οἱ ἕνδεκα Σωκράτη καὶ παρ-αγγέλλουσιν ὅπως ἂν τῇδε τῇ ἡμέρᾳ τελευτήσῃ." οὐ πολὺν δ' οὖν χρόνον ἐπι-σχὼν ἧκεν καὶ ἐκέλευεν ἡμᾶς εἰσ-ιέναι. εἰσ-ελθόντες οὖν κατ-ελαμβάνομεν τὸν μὲν Σωκράτη ἄρτι λελυμένον, τὴν δὲ Ξανθίππην (γιγνώσκεις γάρ) ἔχουσάν τε τὸ παιδίον αὐτοῦ καὶ παρα-καθ-ημένην. ὡς οὖν εἶδεν ἡμᾶς ἡ Ξανθίππη, ἀν-ηυφήμησέ τε καὶ τοιαῦτ' ἄττα εἶπεν, οἷα δὴ εἰώθᾱσιν αἱ γυναῖκες, ὅτι "Ὦ Σώκρατες, ὕστατον δή σε προσ-εροῦσι νῦν οἱ ἐπιτήδειοι καὶ σὺ τούτους." καὶ ὁ Σωκράτης βλέψας εἰς τὸν Κρίτωνα· "Ὦ Κρίτων," ἔφη, "ἀπ-αγέτω τις αὐτὴν οἴκαδε." καὶ ἐκείνην μὲν ἀπ-ῆγόν τινες τῶν τοῦ Κρίτωνος βοῶσάν τε καὶ κοπτομένην. . . .

ΣΧΟΛΙΑ

71. *εἶπεν = ἐκέλευσεν.*

73. *οἱ ἕνδεκα the Eleven,* see note on page 105.

74. *ὅπως ἂν . . . τελευτήσῃ that he may be put to death.* The Eleven were giving orders to this end to the officers of the prison.

75. *δ' οὖν at all events, be that as it may.*

75. *ἐπι-σχών delaying.* Aorist participle of *ἐπ-έχω check, restrain,* used intransitively: *check oneself, wait, pause.*

78. *τὸ παιδίον* this was probably Socrates' youngest son.

79. *παρα-καθ-ημένην sitting beside* (Socrates). See § 96.

85. *τῶν τοῦ* Κρίτωνος (*ἀκολούθων attendants*).

LXII. ἑξήκοντα δύο. ξβ´

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἐκ-φεύγω *flee away, escape.* See φεύγω.

ἡγέομαι *think.* See Lesson XXIII.

θάπτω, -ψω *honor with funeral rites, bury.*

θαρρέω *take heart, be of good cheer.*

φάναι *to say.* Infinitive of φημί, § 94.

φεύγω, φεύξομαι, ἔφυγον, πέφευγα *flee.*

(β)

ἐάνπερ. § 194.

ἡσυχῇ *quietly.*

νεκρός (ὁ) *corpse.*

νόμιμος -η -ον *customary.*

After Xanthippe had been haled away Socrates and his companions discussed at great length the subject of immortality. At the conclusion of the dialogue Crito asked Socrates: θάπτωμεν δέ σε τίνα τρόπον;

ΤΟ ΜΕΜΝΗΣΘΑΙ ΣΩΚΡΑΤΟΥΣ ΗΔΙΣΤΟΝ. ϛ´

"Ὅπως ἄν," ἀπ-εκρίνατο Σωκράτης, "βούλησθε, ἐάνπερ γε λάβητέ με καὶ μὴ ἐκ-φύγω ὑμᾶς."

γελάσᾱς δὲ ἅμα ἡσυχῇ καὶ πρὸς ἡμᾶς ἀπο-βλέψᾱς εἶπεν· "Οὐ πείθω, ὦ ἄνδρες, Κρίτωνα, ὡς ἐγώ εἰμι οὗτος ὁ Σωκράτης, ὁ νῦν δια-λεγόμενος καὶ δια-τάττων ἕκαστον τῶν λεγομένων, ἀλλ᾽ οἴεταί με ἐκεῖνον εἶναι, ὃν ὄψεται ὀλίγον ὕστερον νεκρόν, καὶ ἐρωτᾷ δή, πῶς με θάπτῃ." . . .

"Ἀλλ᾽, ὦ ἄριστε Κρίτων, θαρρεῖν τε χρὴ καὶ φάναι τοὐμὸν σῶμα θάπτειν, καὶ θάπτειν οὕτως ὅπως ἄν σοι φίλον ᾖ καὶ μάλιστα ἡγῇ νόμιμον εἶναι."

ΣΧΟΛΙΑ

92. δια-τάττων . . . λεγομένων *duly arranging every part of his discourse.* See τάττω.

94. πῶς με θάπτῃ. Indirect form of a *Deliberative Question.* See § 156.

96. With the second θάπτειν supply χρή.

LXIII. ἑξήκοντα καὶ τρεῖς. ξγʹ

Learn the conjugation of **κάθ-ημαι** *sit down, sit,* § 96.

The use of the Future Participle to express purpose, § 175; especially when preceded by **ὡς**, § 175 f.

Verbs of ***Sitting:***

ἧμαι *sit* (ἡσ-). Poetic; Attic prose uses the compound: **κάθ-ημαι ἐκαθήμην** *sit down, sit.* No future or aorist. § 96.

ἵζω and **ἵζομαι** and **ἕζομαι**. Poetic; Attic prose uses the compounds:

καθ-ίζω F. **καθ-ιῶ** A. **ἐκάθισα** *seat* (σιδ-, *cf.* Lat. *sido*).

καθ-ίζομαι Impf. **ἐκαθιζόμην** F. **καθ-ιζήσομαι** *sit down, sit.*

καθ-έζομαι Impf. **ἐκαθεζόμην** F. **καθ-εδοῦμαι** *sit down, sit* (σεδ-, *cf.* Lat. *sedeo*).

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

δια-λέγομαι *converse.* See p. 109, no. 33.

δια-τρίβω, -τρίψω, -έτριψα *spend* (time). See p. 65.

ἐπι-στέλλω, -στελῶ, -έστειλα *order, command.* See στέλλω.

ἕπομαι, Past-imperf. εἱπόμην *follow* (Dat.).

λούομαι, -σομαι, -σάμην, λέλουμαι *take a bath.*

φέρω, οἴσω, Aor. ἤνεγκα also ἤνεγκον, Aor. Pass. ἠνέχθην *bear, bring.*

(β)

ἅττα = ἅτινα. **ἄττα** = τινά.

δυσμαί (αἱ) *setting.* ἡλίου δ. *sunset.*

ἐγγύς *near* (Gen.). § 130.

ἐναντίον *in the presence of* (Gen.). § 130.

ἔνδον *within.*

οἰκεῖος -ᾱ -ον *belonging to the household.*

οἴκημα (τό) *room, chamber.*

υἱεῖς *sons.* See § 39, no. 7.

ΤΟ ΜΕΜΝΗΣΘΑΙ ΣΩΚΡΑΤΟΥΣ ΗΔΙΣΤΟΝ. Ζʹ

ταῦτ᾽ εἰπὼν ἐκεῖνος μὲν ἀν-ίστατο εἰς οἴκημά τι

ὡς λουσόμενος, καὶ ὁ Κρίτων εἵπετο αὐτῷ, ἡμᾶς δ' ἐκέλευε περι-μένειν. . . . ἐπειδὴ δὲ ἐλούσατο καὶ ἠνέχθη παρ' αὐτὸν τὰ παιδία — δύο γὰρ αὐτῷ υἱεῖς σμῑκροὶ ἦσαν, εἷς δὲ μέγας — καὶ αἱ οἰκεῖαι γυναῖκες ἀφ-ίκοντο, ἐκείναις ἐναντίον τοῦ Κρίτωνος δια-λεχθείς τε καὶ ἐπι-στείλᾱς ἅττα ἐβούλετο, τὰς μὲν γυναῖκας καὶ τὰ παιδία ἀπ-ιέναι ἐκέλευσεν, αὐτὸς δὲ ἧκε παρ' ἡμᾶς. καὶ ἦν ἤδη ἐγγὺς ἡλίου δυσμῶν· χρόνον γὰρ πολὺν δι-έτρῑψεν ἔνδον. ἐλθὼν δ' ἐκαθέζετο λελουμένος, καὶ οὐ πολλὰ μετὰ ταῦτα δι-ελέχθη.

ΣΧΟΛΙΑ

98. ἀν-ίστατο εἰς οἴκημά τι *arose (and went) into a room.* See the note on line 65, page 74.

101. παρ' αὐτόν, see Exercise 16, and § 129 d.

109. μετὰ ταῦτα, see Exercise 16, and § 129 c.

LXIV. *ἑξήκοντα τέτταρες. ξδ'*

Formations of the Aorist:

1) First or Sigmatic Aorists, § 64 and Lessons XLVIII and XLIX. Irregular is **ἤνεγκα** (stem *ἐνεγκ-*) which serves as aorist to **φέρω**. Another aorist of this verb is **ἤνεγκον**, and the usage of the two sets of forms is very complex. Other aorists in **-κα** are **ἔθηκα** (§ 88), **ἔδωκα** (§ 89), **ἧκα** (§ 98).
2) Second or Root Aorists:
   a) Thematic, §§ 63 (1), 84, and Lesson LIII.
   b) Non-thematic, §§ 63 (2), 86.

Learn the conjugation of **ἔστην** *stood*, and **ἔγνων** *recognized*, § 86. Like **ἔστην** conjugate **ἔβην** *went*.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἀνα-βλέπω *look up (at).*
γιγνώσκω, γνώσομαι, A. ἔγνων, Pf. ἔγνωκα *recognize, come to know* (γνω- γνο-, *cf.* Lat. (*g*)*nosco*, know).
δακρύω, -σω, -σα *weep.* ΣΧΟΛΙΑ.
κατα-γιγνώσκω *accuse, make complaint of.* Gen., § 116 h.
κατ-αράομαι *curse.*
μετα-στρέφομαι *turn (oneself).*
παρ-αγγέλλω *order, command.*
τρίβω, τρίψω, ἔτρῖψα, τέτριμμαι *rub, grind, pound* (in a mortar).
χαλεπαίνω *be angry with.*

(β)

ἀναγκαῖος -ᾱ -ον *necessary.*
ἀστεῖος -ᾱ -ον *town-bred, courteous.*
πρᾶος -ον *gentle.* πρᾱότερος -ότατος.
πώποτε *ever yet.*
ῥᾷστα *most easily.* See ῥᾴδιος *easy*, § 47 B.
ὑπηρέτης (ὁ) *servant.*

ΤΟ ΜΕΜΝΗΣΘΑΙ ΣΩΚΡΑΤΟΥΣ ΗΔΙΣΤΟΝ. Η′

καὶ ἧκεν ὁ τῶν ἕνδεκα ὑπηρέτης καὶ στὰς παρ᾽ αὐτόν· "Ὦ Σώκρατες," ἔφη, "οὐ κατα-γνώσομαι σοῦ ὅπερ ἄλλων κατα-γιγνώσκω, ὅτι μοι χαλεπαίνουσι καὶ κατ-αρῶνται, ἐπειδὰν αὐτοῖς παρ-αγγέλλω πίνειν τὸ φάρμακον ἀναγκαζόντων τῶν ἀρχόντων. σὲ δὲ ἐγὼ καὶ ἄλλως ἔγνωκα ἐν τούτῳ τῷ χρόνῳ γενναιότατον καὶ πρᾱότατον καὶ ἄριστον ἄνδρα ὄντα τῶν πώποτε δεῦρο ἀφ-ικομένων, καὶ δὴ καὶ νῦν εὖ οἶδ᾽ ὅτι οὐκ ἐμοὶ χαλεπαίνεις (γιγώσκεις γὰρ τοὺς αἰτίους) ἀλλὰ ἐκείνοις. νῦν, οἶσθα γὰρ ἃ ἦλθον ἀγγέλλων, χαῖρέ τε καὶ πειρῶ ὡς ῥᾷστα φέρειν τὰ ἀναγκαῖα." καὶ ἅμα δακρύσᾱς μετα-στρεφόμενος ἀπ-ῄει.

καὶ ὁ Σωκράτης ἀνα-βλέψᾱς πρὸς αὐτόν· "Καὶ σύ," ἔφη, "χαῖρε, καὶ ἡμεῖς ταῦτα ποιήσομεν."

καὶ ἅμα πρὸς ἡμᾶς· "Ὡς ἀστεῖος," ἔφη, "ὁ ἄνθρωπος . . . ἀλλ᾽ ἄγε δή, ὦ Κρίτων, πειθώμεθα αὐτῷ, καὶ ἐνεγκάτω τις τὸ φάρμακον, εἰ τέτριπται· εἰ δὲ μή, τρῑψάτω ὁ ἄνθρωπος."

ΣΧΟΛΙΑ

110. *στὰς παρ᾽ αὐτὸν taking his stand near him.*

112. *ὅπερ (the complaint) which.*

114. *ἀναγκαζόντων τῶν ἀρχόντων.* Genitive Absolute, § 175 g.

115. *ἄλλως . . . καὶ δὴ καὶ νῦν* (117 f.) *both on other occasions . . . and especially now.*

115. *σὲ . . . ἔγνωκα . . . ὄντα* (117) *I recognized that YOU were.* § 176 f.

115. *ἐν τούτῳ τῷ χρόνῳ, i.e.* during the time that S. was in prison.

120. *ἃ ἦλθον ἀγγέλλων what message I have come with.*

121. *δακρῡ́σᾱς bursting into tears.* Inceptive Aorist, § 136.

125. *ὁ ἄνθρωπος the fellow.*

126. *ἄγε δή come now* — a frequent use of *ἄγε*. *Cf. φέρε δή*, Exercise 17.

127. *ἐνεγκάτω.* Aorist imperative of *φέρω*.

ΠΡΟΣΘΗΚΗ

The Perfect and Pluperfect Active and Middle-passive: Lessons LI and LII, and §§ 65, 66, 67, 79 A–B, 137, 138, and Exercise 36.

Note the following:

Perfect and Pluperfect Active: **ἠδίκηκας**, p. 58, l. 54 (*ἀδικέω*); **γεγόναμεν**, p. 80, l. 150, **γεγονέναι**, p. 94, no. 3, **γεγονός**, p. 105, l. 37 (*γίγνομαι*); **ἔγνωκα**, p. 115, l. 115 (*γιγνώσκω*); **εἰώθει**, p. 111, l. 71, **εἰώθεμεν**, p. 107, l. 57, **εἰωθός**, p. 107, l. 69 (*εἴωθα*, § 137); **τεθνάναι**, p. 94, no. 3 (*θνῄσκω*); **τεθυκότας**, p. 68, l. 27 (*θύω*).

Perfect Middle-passive: **ἀν-εῳγμένην**, p. 66, l. 13 (*ἀν-οίγω*); **ἤγγελται**, p. 94, no. 3 (*ἀγγέλλω*); **ἀφ-ῖκται**, p. 101, l. 9, **ἀφ-ῑγμένον εἴη**, p. 107, l. 67 (*ἀφ-ικνέομαι*);

βεβουλεύμεθα, p. 94, no. 2 (*βουλεύομαι*); **κεκοσμημένους**, p. 68, l. 29 (*κοσμέω*); **λελουμένος**, p. 114, l. 108 (*λούω*); **λελυμένον**, p. 111, l. 77 (*λύω*); **μέμνησο**, p. 49, no. 6, **μεμνῆσθαι**, p. 105, l. 49 (*μέμνημαι*); **πεποιημένα**, p. 68, l. 29 (*ποιέω*); **πεπύσμεθα**, p. 94, no. 3 (*πυνθάνομαι*); **ἐστέρηται**, p. 86, l. 5 (*στερέω*); **ἐστεμμένη**, p. 103, l. 19 (*στέφω*); **τέτριπται**, p. 116, l. 127 (*τρίβω*).

LXV. *ἑξήκοντα καὶ πέντε.* *ξε´*

Learn the conjugation of **κεῖμαι** (*κατά-κειμαι*), § 97.

Note the verb **βλέπω βλέψομαι ἔβλεψα** *have sight, look* (*βλεφ-*; *cf. τὰ βλέφαρα the eyelids*). The verb is used chiefly in the present and aorist active, and is frequent in compounds: *cf.* **ἀπο-βλέψᾱς**, p. 70; **ἀνα-βλέψᾱς**, p. 115; **ὑπο-βλέψᾱς**, p. 118.

Herewith Exercise 44.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἔξ-εστι *it is permitted.*
κατά-κειμαι *lie down.* § 97.
μέλλω *be about* (to do, etc.).
νεύω, -σω, -σα *nod.*
ὀρέγω, -ξω, -ξα *reach, stretch, hand.*
πίνω, πίομαι, ἔπιον, πέπωκα *drink.*
ὑπο-βλέπω *look from under* (the brows).

(β)

βάρος (*τό*) *heaviness, weight.*
εἶεν *very well! well then!* See p. 60.
ἐπιστήμων -ον *skilled in, having knowledge of* (Gen.).
ἵλεως -ων *gracious, gentle.* ΣΧΟΛΙΑ.
κύλιξ (*ἡ*), *-ικος cup.*
μέτριος -ᾱ -ον *measured, moderate, just sufficient.*
πῶμα (*τό*) *drink.* *Cf. πέπωκα.*
σκέλος (*τό*) *leg.*
ταυρηδόν *like a bull* (*ταῦρος*).
χρῶμα (*τό*) *color.*

ΤΟ ΜΕΜΝΗΣΘΑΙ ΣΩΚΡΑΤΟΥΣ ΗΔΙΣΤΟΝ. Θʹ

καὶ ὁ Κρίτων ἀκούσᾱς ἔνευσε τῷ παιδὶ πλησίον ἑστῶτι. καὶ ὁ παῖς ἐξ-ελθὼν καὶ συχνὸν χρόνον δια-τρίψᾱς ἧκεν ἄγων τὸν μέλλοντα διδόναι τὸ φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον.

ἰδὼν δὲ ὁ Σωκράτης τὸν ἄνθρωπον· "Εἶεν," ἔφη, "ὦ βέλτιστε, σὺ γὰρ τούτων ἐπιστήμων, τί χρὴ ποιεῖν;" "Οὐδὲν ἄλλο," ἔφη, "ἢ πιόντα περι-ιέναι, ἕως ἄν σου βάρος ἐν τοῖς σκέλεσι γένηται, ἔπειτα κατα-κεῖσθαι· καὶ οὕτως αὐτὸ ποιήσει. καὶ ἅμα ὤρεξε τὴν κύλικα τῷ Σωκράτει. καὶ ὃς λαβὼν καὶ μάλα ἵλεως, ὦ Ἐχέκρατες, οὐδὲν τρέσᾱς οὐδὲ δια-φθείρᾱς οὔτε τοῦ χρώματος οὔτε τοῦ προσώπου, ἀλλ', ὥσπερ εἰώθει, ταυρηδὸν ὑπο-βλέψᾱς πρὸς τὸν ἄνθρωπον· "Τί λέγεις," ἔφη, "περὶ τοῦδε τοῦ πώματος πρὸς τὸ ἀπο-σπεῖσαί τινι; ἔξ-εστιν ἢ οὔ;" "Τοσοῦτον," ἔφη, "ὦ Σώκρατες, τρίβομεν ὅσον οἰόμεθα μέτριον εἶναι πιεῖν."

ΣΧΟΛΙΑ

129. *τῷ παιδὶ πλησίον ἑστῶτι to the servant standing near* (him). *ἑστῶτι*, dative of the participle of the perfect *ἕστηκα I stand*, §§ 137, 87 A. *Cf. περι-εστῶτες bystanders*, p. 80, l. 144.

131. *διδόναι to give.* Infinitive of *δίδωμι*, § 89 A.

137. *αὐτὸ ποιήσει it will act of itself* — a medical use of *ποιεῖν*.

138. *καὶ ὃς and he.*

139. *ἵλεως* is an adjective, but it may be translated as an adverb: *graciously, cheerfully.*

139. *οὐδὲν τρέσᾱς . . . προσώπου without a shudder or any change of complexion or countenance. τρέω fear; δια-φθείρω destroy, change* (for the worse). The genitives are perhaps partitive, § 114.

141. ταυρηδὸν ὑπο-βλέψᾱς, *i.e.* with a fixed, piercing gaze. Socrates' eyes were very prominent.

143. πρὸς τὸ ἀπο-σπεῖσαί τινι (*i.e.* θεῷ τινι) *with reference to pouring a libation to a (god).* ἀπο-σπεῖσαι is aorist infinitive of ἀπο-σπένδω, -σπείσω, -ἔσπεισα *pour out* as a drink-offering.

144. τοσοῦτον *only so much.*

LXVI. ἑξήκοντα ἕξ. ξϛ´

The Optative, §§ 161–165, 168, 179, II B and B c.

οἷός τ᾽ εἰμί with the Infinitive, § 172, II c.

Adjectives in **-ης**: **ἀληθής**, § 42.

Verbs of ***Preventing:***

Verbs which signify (or suggest) *to prevent, to hinder,* etc., allow many constructions. Note the following: 1) Infinitive, see Lesson XXIX; 2) Infinitive with **μή** (redundant): **κωλύει σε μὴ πίνειν** *he prevents you from drinking;* 3) **τὸ μὴ** and Infinitive: **οἷοί τε ἦσαν κατ-έχειν τὸ μὴ δακρύειν** *they were able to refrain from weeping* (see p. 120, l. 152); 4) **τοῦ** and Infinitive: **ἐπ-έσχομεν τοῦ δακρύειν** *we desisted from weeping* (see p. 121, l. 163).

When the verb of preventing, etc., itself has a negative the following constructions occur: 5) Infinitive: **οὐ δια-κωλύουσι ποιεῖν ὧν ἂν ἐπι-θῡμῇς**, see Lesson XXIX; 6) **μὴ οὐ** and Infinitive: **τί ἐμποδὼν** (= οὐδὲν ἐμποδὼν) **μὴ οὐκ . . . ἀπο-θανεῖν**; *what hinders our being put to death?* 7) **τὸ μὴ οὐ** and Infinitive: **λόγος οὐδεὶς ἀμφισβητεῖ τὸ μὴ οὐχ ἡδέα εἶναι τὰ ἡδέα** *no argument disputes that the pleasant things are pleasant.*

Other constructions also are occasionally allowed. Most common are numbers 2, 3, 6 and 7. Note that the negative may not be actually expressed, but may be implied as in a question which expects a negative answer (see no. 6).

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἀπο-κλαίω *weep for, bewail.*
ἐγ-καλύπτω *cover up, wrap in.*
εὔχομαι *pray.*
κατ-έχω *check, restrain, refrain.*
κλαίω, κλαύσομαι *weep, lament.*
χωρέω *go*, (of tears) *flow.*

(β)

ἀστακτί (*not in drops*) *in floods.*
βίᾱ (ἡ) *force.* βίᾳ ἐμοῦ *in spite of myself.*
ἐπιεικῶς *fairly.*
εὐκόλως *easily, calmly.*
εὐτυχής -ές *fortunate.* § 42.
εὐχερῶς *lightly, heedlessly, with indifference.*
που *I suppose.*
ταύτῃ = οὕτως.
τέως *up to that time.*

ΤΟ ΜΕΜΝΗΣΘΑΙ ΣΩΚΡΑΤΟΥΣ ΗΔΙΣΤΟΝ. Ι΄

"Μανθάνω," ἦ δ' ὅς· "ἀλλ' εὔχεσθαί γέ που τοῖς θεοῖς ἔξ-εστί τε καὶ χρή, τὴν μετοίκησιν τὴν ἐνθένδε ἐκεῖσε εὐτυχῆ γενέσθαι· ἃ δὴ καὶ ἐγὼ εὔχομαί τε καὶ γένοιτο ταύτῃ." καὶ ἅμα εἰπὼν ταῦτα ἐπι-σχόμενος καὶ μάλα εὐχερῶς καὶ εὐκόλως ἐξ-έπιεν. καὶ ἡμῶν οἱ πολλοὶ τέως μὲν ἐπιεικῶς οἷοί τε ἦσαν κατ-έχειν τὸ μὴ δακρῡ́ειν, ὡς δὲ εἴδομεν πίνοντά τε καὶ πεπωκότα, οὐκέτι, ἀλλ' ἐμοῦ γε βίᾳ καὶ αὐτοῦ ἀστακτὶ ἐχώρει τὰ δάκρυα, ὥστε ἐγ-καλυψάμενος ἀπ-έκλαιον ἐμαυτόν. ὁ δὲ Κρίτων ἔτι πρότερος ἐμοῦ, ἐπειδὴ οὐχ οἷός τ' ἦν κατ-έχειν τὰ δάκρυα, ἐξ-αν-έστη. . . .

ΣΧΟΛΙΑ

147 f. *τὴν μετοίκησιν τὴν ἐνθένδε ἐκεῖσε the change of abode from here to there.* See § 104, 1 b.

150. *ἐπι-σχόμενος raising* (*τὴν κύλικα*) *to* his lips.

153. *εἴδομεν (αὐτόν)*. The object is often omitted in Greek. *πεπωκότα* (*having drunk*) *that he had drunk*. For this use of the perfect participle compare *τεθυκότας*, p. 68, l. 27.

157. *ἐξ-αν-έστη arose and went out. Cf. ἀν-ίστατο*, p. 113, l. 98.

ΠΡΟΣΘΗΚΗ

ΤΟ ΜΕΜΝΗΣΘΑΙ ΣΩΚΡΑΤΟΥΣ ΗΔΙΣΤΟΝ. Κ'

Σωκράτης δέ, "Οἷα," ἔφη, "ποιεῖτε, ὦ θαυμάσιοι. ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα τὰς γυναῖκας ἀπ-έπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν. καὶ γὰρ ἀκήκοα ὅτι ἐν εὐφημίᾳ χρὴ τελευτᾶν. ἀλλ' ἡσυχίᾱν τε ἄγετε καὶ καρτερεῖτε." καὶ ἡμεῖς ἀκούσαντες ᾐσχύνθημέν τε καὶ ἐπ-έσχομεν τοῦ δακρύειν.

ΣΧΟΛΙΑ

158. *οἷα . . . θαυμάσιοι how strangely you are behaving, my friends!*

160. *πλημμελοῖεν. πλημμελέω strike a false note, offend.* For the optative see § 179, II B c.

161. *ἀκήκοα I have heard. ἐν εὐφημίᾳ in silence.*

162. *ἡσυχίᾱν ἄγειν to be quiet. καρτερέω bear patiently.*

163. *ᾐσχύνθημεν*, aorist of *αἰσχύνομαι be ashamed.*

LXVII. ἑπτὰ καὶ ἑξήκοντα. ξζ'

The verb **φημί**, § 94; with Infinitive, § 179, I.
The Genitive with verbs of *Touching*, § 115.
The Optative in Indirect Questions, § 179, II B.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(a)

αἰσθάνομαι *perceive.*
βαρῡ́νομαι *be heavy, be weary.*
ἐπι-σκοπέω *inspect, examine.*
ἐφ-άπτομαι *lay hold of* (Gen.).
ἤρετο see *ἐρωτάω*. Lesson LX.
ὀφείλω, *ὀφειλήσω owe.*

πειράομαι, *πειράσομαι*, Aor. *ἐπειράθην* *try, have experience of* (Gen.).

πιέζω *press, squeeze.*

συλ-λαμβάνω, *-λήψομαι*, Aor. *συνέλαβον* *put together, close.*

φθέγγομαι *utter a sound.*

(β)

ἀλεκτρυών (ὁ), *-όνος* *cock.*

ἔπειτα *then.* *κἄπειτα* = *καὶ ἐπ.*

ὄμμα (*τό*) *eye.*

στόμα (*τό*) *mouth.*

τελευταῖος *-ᾱ -ον* *last.*

ὕπτιος *-ᾱ -ον* (laid) *on one's back.*

ΤΟ ΜΕΜΝΗΣΘΑΙ ΣΩΚΡΑΤΟΥΣ ΗΔΙΣΤΟΝ. Δ'

ὁ δὲ περι-ελθών, ἐπειδή οἱ βαρῡ́νεσθαι ἔφη τὰ σκέλη, κατ-εκλίνη ὕπτιος. οὕτω γὰρ ἐκέλευεν ὁ ἄνθρωπος. καὶ ἅμα ἐφ-απτόμενος αὐτοῦ οὗτος ὁ δοὺς τὸ φάρμακον, δια-λιπὼν χρόνον ἐπ-εσκόπει τοὺς πόδας καὶ τὰ σκέλη, κἄπειτα σφόδρα πιέσᾱς αὐτοῦ τὸν πόδα ἤρετο, εἰ αἰσθάνοιτο. ὁ δὲ οὐκ ἔφη. . . . καὶ ἐκ-καλυψάμενος (ἐν-εκεκάλυπτο γὰρ) εἶπεν, ὃ δὴ τελευταῖον ἐφθέγξατο· "Ὦ Κρίτων," ἔφη, "τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα. ἀλλ' ἀπό-δοτε καὶ μὴ ἀμελήσητε." "Ἀλλὰ ταῦτα," ἔφη, "ἔσται," ὁ Κρίτων. "ἀλλ' ὅρᾱ, εἴ τι ἄλλο λέγεις." ταῦτα ἐρομένου αὐτοῦ οὐδὲν ἔτι ἀπ-εκρῑ́νατο, ἀλλ' ὀλίγον χρόνον δια-λιπὼν ἐκῑνήθη τε καὶ ὁ ἄνθρωπος ἐξ-εκάλυψεν αὐτόν, καὶ ὃς τὰ ὄμματα ἔστησεν. ἰδὼν δὲ ὁ Κρίτων συν-έλαβε τὸ στόμα καὶ τοὺς ὀφθαλμούς.

ἥδε ἡ τελευτή, ὦ Ἐχέκρατες, τοῦ ἑταίρου ἡμῖν ἐγένετο, ἀνδρός, ὡς ἡμεῖς φαῖμεν ἄν, τῶν τότε ὧν ἐπειράθημεν ἀρίστου καὶ ἄλλως φρονιμωτάτου καὶ δικαιοτάτου.

ΣΧΟΛΙΑ

165. *οἱ his* (*for him*). See § 21 b.

166. *κατ-εκλίνη he lay down.* Aor. pass. of *κατα-κλίνω.*

168. *ὁ δούς the one who gave.* Aor. partic. of *δίδωμι*, § 89. *δια-λιπὼν χρόνον after an interval.* (*δια-λείπω leave* a gap *between*).

170. *οὐκ ἔφη he said that he did not.*

173. Asclepius was a god of healing. The cock was a thank-offering for health restored. Socrates' "long sickness of health and living now begins to mend."

174. *ἀπό-δοτε καὶ μὴ ἀμελήσητε pay* (the debt) *without fail. ἀμελέω neglect.* For the subjunctive see § 157 b.

176. *ἐρομένου αὐτοῦ when he asked.* Gen. absolute, § 175 g.

177. *ἐκῑνήθη he stirred.* Aor. pass. of *κῑνέω move.*

178 f. *καὶ ὃς . . . ἔστησεν his eyes were fixed* (liter. *and he* (Soc.) *had set his eyes*). *ἔστησεν* is first aorist of *ἵστημι*, § 87.

Plutarch in his *Life of Cato the Younger* relates that Cato was said to have read on the last night of his life Plato's "Dialogue on the Soul" (*i.e.* the *Phaedo*) through twice. At cock-crow he thrust his sword into his breast and so died.

LXVIII. *δυοῖν δέοντες ἑβδομήκοντα. ξη′*

Review: The conjugation of **οἶδα**, § 95; the declensions of the active participles, especially of the perfect active participle, § 50 C (*εἰδώς knowing*). Like **εἰδώς** decline **δεδιώς** *fearing*, **πεφευγώς** *having fled*, **πεποιηκώς** *having made.*

The Infinitive as a Noun, § 172, II a; Infinitive with Verbs of ***Thinking***, § 179, I a; **τυγχάνω** with a Participle, § 176 c.

Herewith Exercise 45.

Verbs of ***Fearing:***

δέδοικα *I fear* (perfect used as a present. *Cf.* *οἶδα*).

δέδοικα is not common in Attic prose, except in the singular of the indicative; more common is

δέδια *I fear* (second perfect as present). The most frequently occurring forms are:

δέδια, δέδιας, δέδιε, δέδιμεν, δέδιτε, δεδίᾱσι, infinitive **δεδιέναι,** participle **δεδιώς.**

φοβέω, -ήσω, -ησα, ἐφοβήθην *put to flight, terrify.*

φοβέομαι, -ήσομαι, ἐφοβήθην *flee in fear, be afraid, fear.*
Cf. φόβος (ὁ) *flight, fear.* *Cf.* hydrophobia.

ΤΟ ΘΑΝΑΤΟΝ ΔΕΔΙΕΝΑΙ

When on trial before a court of his fellow-citizens on the twofold charge of not believing in the Gods in whom the Athenians believed, and of corrupting the young men, Socrates, holding the conviction that he was called of God to devote his life to the pursuit of philosophy, and to subject both himself and others to a searching examination (*φιλοσοφοῦντά με δεῖ ζῆν καὶ ἐξετάζοντα ἐμαυτὸν καὶ τοὺς ἄλλους*) summarily rejects the suggestion that by renouncing this mode of life he might escape condemnation. This, he says, would be conclusive proof that —

οὐ νομίζω θεοὺς εἶναι, ἀπειθῶν τῇ μαντείᾳ καὶ δεδιὼς θάνατον καὶ οἰόμενος σοφὸς εἶναι οὐκ ὤν.

τὸ γάρ τοι θάνατον δεδιέναι, ὦ ἄνδρες, οὐδὲν ἄλλο ἐστὶν ἢ δοκεῖν σοφὸν εἶναι, μὴ ὄντα· δοκεῖν γὰρ εἰδέναι ἐστὶν ἃ οὐκ οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον, οὐδ' εἰ τυγχάνει τῷ ἀνθρώπῳ πάντων μέγιστον ὂν τῶν ἀγαθῶν· δεδίᾱσι δ' ὡς εὖ εἰδότες ὅτι μέγιστον τῶν κακῶν ἐστι. καὶ τοῦτο πῶς οὐκ ἀμαθίᾱ ἐστὶν αὕτη ἡ τοῦ οἴεσθαι εἰδέναι ἃ οὐκ οἶδεν;

ἐγὼ δ', ὦ ἄνδρες, τούτῳ καὶ ἐνταῦθα ἴσως διαφέρω τῶν πολλῶν ἀνθρώπων, καὶ εἰ δή τῳ σοφώτερός του φαίην εἶναι, τούτῳ ἄν, ὅτι οὐκ εἰδὼς ἱκανῶς περὶ τῶν ἐν Ἅιδου οὕτω καὶ οἴομαι οὐκ

εἰδέναι. τὸ δὲ ἀδικεῖν καὶ ἀπειθεῖν τῷ βελτίονι, καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν ἐστιν οἶδα. πρὸ οὖν τῶν κακῶν ὧν οἶδα ὅτι κακά ἐστιν, ἃ μὴ οἶδα εἰ ἀγαθὰ ὄντα τυγχάνει οὐδέποτε φοβήσομαι οὐδὲ φεύξομαι.

— Πλάτων ἐν τῇ Σωκράτους Ἀπολογίᾳ, 29 A–B.

ΣΧΟΛΙΑ

1. *ἀπειθῶν τῇ μαντείᾳ because I disobey the oracle.*
3. *τὸ θάνατον δεδιέναι the fear of death.*
4. *δοκεῖν.* Observe the order of emphasis.
9. *αὕτη ἡ τοῦ, κτλ. this ignorance of thinking*, etc.
11. *τούτῳ καὶ ἐνταῦθα in this (point) also here (= again).*
12. *τῳ . . . του, in any respect . . . than any one.*
14. *τῶν ἐν Ἅιδου the (conditions) in (the house) of Hades. Ἅιδης the Unseen (one) (ἀ + ἰδ-).* See § 4 b (end).
16. *καὶ θεῷ καὶ ἀνθρώπῳ whether God or man.*
17. *πρὸ τῶν κακῶν ὧν (= ἃ) οἶδα in preference to the evils which I know.* See § 102.

LXIX. ἑνὸς δέοντες ἑβδομήκοντα. ξθʹ

μεταβολὴ πάντων γλυκύ. — Παροιμίᾱ Ἑλληνική.

The First-Third-Declension Adjectives, §§ 43, 45.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

καθ-εύδω, *καθ-ευδήσω lie down to sleep, sleep.*

(β)

αἴσθησις (ἡ) *perception. Cf.* aesthetic (*αἰσθάνομαι*).
ἐνθένδε *from this place.*
θἄτερον = *τὸ ἕτερον the one (of two).*
θαυμάσιος *-ᾱ -ον wondrous.*
μετα-βολή (ἡ) *change* (*μετα-βάλλω*).
μετ-οίκησις (ἡ) *change of residence.*
ὄναρ (τό) *dream.*
πολύς πλείων πλεῖστος *much, more, most. Cf.* polygamy.
τόπος (ὁ) *place. Cf.* topography.

Ο ΘΑΝΑΤΟΣ

Later in the course of his speech before the court Socrates remarks:

δυοῖν τοι θἄτερόν ἐστι τὸ τεθνάναι· ἢ γὰρ οἷον μηδὲν εἶναι μηδ' αἴσθησιν μηδεμίαν μηδενὸς ἔχειν τὸν τεθνεῶτα, ἢ κατὰ τὰ λεγόμενα μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις τῇ ψῡχῇ τοῦ τόπου τοῦ ἐνθένδε εἰς ἄλλον τόπον. καὶ εἴτε μηδεμία αἴσθησίς ἐστιν, ἀλλ' οἷον ὕπνος ἐπειδάν τις καθεύδων μηδ' ὄναρ μηδὲν ὁρᾷ, θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος. καὶ γὰρ οὐδὲν πλείων ὁ πᾶς χρόνος φαίνεται οὕτω δὴ εἶναι ἢ μία νύξ.

ΣΧΟΛΙΑ

1. τὸ τεθνάναι *death.* οἷον μηδὲν εἶναι, κτλ. *it is such (a condition) as to be nothing and to have no perception of anything.* § 180 a.

3. τὸν τεθνεῶτα *the one who is dead.* κατὰ τὰ λεγόμενα *according to,* etc., *as people say.*

ΠΡΟΣΘΗΚΗ

1. *Τίς οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,*
τὸ κατθανεῖν δὲ ζῆν κάτω νομίζεται;
—Εὐριπίδης, Ἀπόσπασμα, 638, N².

2. *Τίς δ' οἶδεν εἰ ζῆν τοῦθ' ὃ κέκληται θανεῖν,*
τὸ ζῆν δὲ θνῄσκειν ἐστί; δῆλα δ' ὡς βροτῶν
νοσοῦσιν οἱ βλέποντες, οἱ δ' ὀλωλότες
οὐδὲν νοσοῦσιν οὐδὲ κέκτηνται κακά.
— Τοῦ αὐτοῦ, Ἀπ. 833, N².

3. *Τίς οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,*
τὸ πνεῖν δὲ δειπνεῖν, τὸ δὲ καθ-εύδειν κώδιον;
— Ἀριστοφάνης, Βάτραχοι, 1477–8.

4. Μόνος θεῶν τοι Θάνατος οὐ δώρων ἐρᾷ,
οὐδ' ἄν τι θύων οὐδ' ἐπι-σπένδων ἄνοις,
οὐδ' ἔστι βωμὸς οὐδὲ παιωνίζεται.
— Αἰσχύλος, 'Απ. 161, N².

5. Γῆς ἐπ-έβην γυμνός, γυμνός θ' ὑπὸ γαῖαν ἄπ-ειμι,
καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος;
—'Ανθολογίᾱ, X, 58.

6. Θνητὰ τὰ τῶν θνητῶν, καὶ πάντα παρ-έρχεται ἡμᾶς·
ἢν δὲ μή, ἀλλ' ἡμεῖς αὐτὰ παρ-ερχόμεθα.
—Τῆς αὐτῆς, X, 31.

7. Οὐκ ἤμην, γενόμην· ἤμην, οὐκ εἰμί· τοσαῦτα·
εἰ δέ τις ἄλλ' ἐρέει, ψεύσεται· οὐκ ἔσομαι.
—Τῆς αὐτῆς.

ΣΧΟΛΙΑ

1. *κατθανεῖν = κατα-θανεῖν.*
2. *κέκληται (καλέω). δῆλα δ' ὡς it is clear that.*
οἱ ὀλωλότες the dead (ὄλωλα I am lost. Prose : *ἀπ-όλωλα).*
κέκτηνται they have (κτάομαι). § 137.
3. This is a parody of the first quotation above : "*breathing 's breakfast and lying down is eider-down.*"
4. *ἄνοις ἄν = ἀνύοις ἄν you could accomplish.*
5. *ὑπὸ γαῖαν = ὑπὸ γῆν beneath the earth.*
7. *ἤμην* a late form for *ἦν I was. ἐρέει = ἐρεῖ.*

LXX. ἑβδομήκοντα. ο'

Τὸ Ἑβδομηκοστὸν Μάθημα

Ἀστέρας εἰσ-αθρεῖς, Ἀστὴρ ἐμός· εἴθε γενοίμην
οὐρανός, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.
—'Εκ τῆς 'Ανθολογίᾱς, VII, 669.

Gazing at stars, O Star?
Star of my soul! Ah me!

That I were heaven, to gaze with all
Those myriad eyes on thee!
— Translation by Dr. Walter Headlam.

Review: The Third Declension — nouns and adjectives, §§ 30–38, 44.

Modes of Expressing ***Wish***:

a) With *Optative*, § 162.
b) With *Past Indicative*, § 153.

ONOMATA TE KAI PHMATA

(α)

ἀθρέω, -ήσω *gaze at, look earnestly at* (εἰσ-αθρέω).

γαμέω, F. γαμῶ (γαμέω), ἔγημα, γεγάμηκα *marry* (γάμος).

δέω, δήσω, ἔδησα, δέδεκα *bind*. *Cf.* δέω, δεήσω *need*.

θιγγάνω, A. ἔθιγον *touch* (poetic).

καίω (or κάω), καύσω, ἔκαυσα *kindle, burn* (καυ-, caustic).

πυνθάνομαι, πεύσομαι, ἐπυθόμην, πέπυσμαι *learn by inquiry, inquire* (πευθ- πυθ-).

(β)

ἀστήρ (ὁ), -έρος *star*. *Cf.* aster.

δωδεκετής *twelve years old*.

εἴθε = **εἰ γάρ** *O that!*

ἐλπίς (ἡ), -ίδος *hope* (ἐλπίζω).

ἤδη *now at length, already*.

ἰξός (ὁ) *mistletoe, bird-lime* (prepared from the mistletoe berry).

κέρᾱς (τό), -ᾱτος *horn*.

κώνωψ (ὁ), -ωπος *gnat, mosquito*.

ὄμμα (τό) -ατος *eye* (poetic) (ὀπ-).

πάρος *formerly* (poetic).

ταῦρος (ὁ) *bull*. *Cf.* Minotaur.

φίλημα (τό), -ατος *a kiss*.

1. Ἰξὸν ἔχεις τὸ φίλημα, τὰ δ' ὄμματα, Τῑμάριον, πῦρ·
ἢν ἐσ-ίδῃς, καίεις· ἢν δὲ θίγῃς, δέδεκας.
— Τοῦ Μελεάγρου.

Thine eyes are fire, Timarion,
Thy kiss a limèd lure;
Thou kindlest whom thou look'st upon,
Whom touchest, hast him sure.
— Translation by Dr. Walter Headlam.

2. EPITAPH ON AESIGENES

Παμ-μῆτορ Γῆ, χαῖρε· σὺ τὸν πάρος οὐ βαρὺν εἰς σὲ
Αἰσιγένην καὐτὴ νῦν ἐπ-έχοις ἀβαρής.
—Καὶ τοῦ Μελεάγρου.

Hail, Mother Earth! Aesigenes
That erst was unto thee
Not heavy, now in turn may'st please
To press not heavily.
— Translation by Dr. Walter Headlam.

3. EPITAPH ON A BOY

Δωδεκετῆ τὸν παῖδα πατὴρ ἀπ-έθηκε Φίλιππος
ἐνθάδε, τὴν πολλὴν ἐλπίδα, Νῖκοτέλην.
— Ἐκ τῆς Ἀνθολογίᾱς, VII, 453.

4. EPITAPH ON AN UNHAPPY MAN

Ἑξηκοντούτης Διονύσιος ἐνθάδε κεῖμαι
Ταρσεύς, μὴ γήμᾱς· εἴθε δὲ μηδ' ὁ πατήρ.
—Ἐκ τῆς αὐτῆς, VII, 309.

5. **Κώνωψ καὶ Ταῦρος**

Κώνωψ ἐπι-στᾱ̀ς κέρᾱτι ταύρου, καὶ πολὺν χρόνον ἐπι-καθ-ίσᾱς, ἐπειδὴ ἀπ-ελθεῖν ἔμελλεν, ἐπυνθάνετο τοῦ ταύρου, εἰ ἤδη βούλεται αὐτὸν ἀπ-ελθεῖν. ὃ δὲ ἀπο-κρῑνόμενος ἔφη, Ἀλλ' οὔτε ὅτε ἦλθες, ἔγνων, οὔτε ἐᾱ̀ν ἀπ-έλθῃς, γνώσομαι.
—Ἐκ τῆς τῶν Αἰσωπείων Μύθων Συναγωγῆς, 235 H.

ΣΧΟΛΙΑ

ὡς σὲ βλέπω. ὡς = ὡς ἂν = ἵνα. §§ 160 a, 197.

1. *δέδεκας thou hast (him) bound.*

2. *ἐπ-έχοις may'st thou have (thyself) upon!*

3. ἀπ-έθηκε *he put away, laid away.*
4. ἑξηκοντούτης *sixty years of age.*
Ταρσεύς *of Tarsus.* εἴθε μὴ ὁ πατὴρ (ἔγημε).
5. ἐπι-στάς *alighting upon.* ἐπι-καθ-ίσᾱς *having sat upon.*

ΠΡΟΣΘΗΚΗ

δέχομαι, -ξομαι, -ξάμην *receive* (δεχ- δοχ-).
ἕρπω *creep, crawl.*
ζάω, ζήσω, and **ζήσομαι** *live* (Infin. ζῆν). (Cf. ζῷον (τό) *animal.*)
μειδιάω, A. **ἐμειδίᾱσα** *smile.* (*Cf.* γελάω *laugh.*)
ὀρχέομαι, -ήσομαι *dance.* (*Cf.* ὀρχήστρᾱ (ἡ) *place for dancing.*)
τίκτω, τέξομαι, ἔτεκον *bring forth, bear* (*young*), etc. (τεκ- τοκ-).

1. Ἄρκτος καὶ Ἀλώπηξ

Ἄρκτος τίς ποτε μεγάλως ἐκαυχᾶτο, ὅτι φιλανθρωπότατον πάντων ἐστὶ τῶν ζῴων· φᾱσὶ γὰρ ἄρκτον νεκρὸν μηδὲν ἐσθίειν. ἡ δ' ἀλώπηξ ἀκούσᾱσα ταῦτα ἐμειδίασε καὶ πρὸς αὐτὸν ἀντ-έφη, Εἴθε τοὺς νεκροὺς ἤσθιες καὶ μὴ τοὺς ζῶντας.

2. Ζεὺς καὶ Ὄφις

Τοῦ Διὸς γαμοῦντος πάντα τὰ ζῷα ἀν-έφερε δῶρα. ὄφις δ' ἕρπων ῥόδον ἀνα-λαβὼν τῷ στόματι ἀν-έβη. ἰδὼν δ' αὐτὸν ὁ Ζεὺς ἔφη, Τῶν ἄλλων ἁπάντων καὶ ἐκ ποδῶν δῶρα δέχομαι, ἀπὸ δὲ τοῦ σοῦ στόματος οὐ λαμβάνω.

3. Κάμηλος

Κάμηλός τις ἀναγκαζομένη ὑπὸ τοῦ δεσπότου ὀρχεῖσθαι εἶπεν, Ἀλλ' οὐ μόνον ὀρχουμένη εἰμὶ ἄσχημος, ἀλλὰ καὶ περι-πατοῦσα.

4. Γυνὴ καὶ Ὄρνις

Γυνή τις χήρᾱ ὄρνιν εἶχε καθ' ἑκάστην ἡμέρᾱν ᾠὸν αὐτῇ τίκτουσαν. νομίσᾱσα δ', εἰ πλείους τῇ ὄρνῑθι

κρῖθᾶς παρα-βάλοι, δὶς τῆς ἡμέρᾱς τέξεσθαι ἐκείνην, οὕτω ἐποίησεν. ἡ δ' ὄρνις πιμελὴς γενομένη οὐδ' ἅπαξ τῆς ἡμέρᾱς τεκεῖν ἐδύνατο.

—Ἐκ τῆς τῶν Αἰσωπείων Μῡθων Συναγωγῆς.

ΣΧΟΛΙΑ

1. *ἐκαυχᾶτο he was boasting.*
3. *ἄσχημος awkward.*
4. *πιμελής fat.*

LXXI. ἑβδομήκοντα εἷς. οα'

Τὸν εὐτυχεῖν δοκοῦντα μὴ ζήλου, πρὶν ἂν θανόντ' ἴδῃς.

—Εὐριπίδης, Ἡρακλ. 865–866.

Temporal Clauses, § 170; Imperative, § 171.

Verbs in **-οω**, § 83.

The Classification of Verbs according to the Progressive Action-stems, §§ 59, 60.

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

δηλόω, *-ώσω make clear, show* (*δῆλος*).

ἐλευθερόω, *-ώσω set free* (*ἐλεύθερος free*).

ζηλόω, *-ώσω, -ωσα, -ωκα view with envy, admire, praise* (*ζῆλος* (*ὁ*) *emulation, envy*, etc.).

ὀλβίζω, F. *ὀλβιῶ deem happy* (poetic) (*ὄλβιος happy* (poetic)).

περάω, *περάσω, ἐπέρᾱσα pass through, complete* (*πέρας* (*τό*) *end*).

(β)

ἀγών (*ὁ*), *-ῶνος contest. Cf.* agony.

ἀλγεινός *-ή -όν painful.*

ἕδος (*τό*), *-ους, seat, abode.*

θήκη (*ἡ*) *chest, vault, tomb.*

μάντις (*ὁ*), *-εως seer. Cf.* mantic.

πατρίς (*ἡ*), *-ίδος fatherland.*

πατρῷος *-ᾱ -ον of one's father.*

πρόγονος (*ὁ*) *ancestor.*

τέρμα (*τό*), *-ατος end* (poetic).

1. Ἦ πολλὰ βροτοῖς ἔστιν ἰδοῦσιν
γνῶναι· πρὶν ἰδεῖν δ' οὐδεὶς μάντις
τῶν μελλόντων ὅ τι πράξει.
— Σοφοκλῆς, Αἴᾱς 1417–1419.

2. Μηδέν' ὀλβίσῃς πρὶν ἂν
τέρμα τοῦ βίου περάσῃ, μηδὲν ἀλγεινὸν παθών
— Σοφοκλῆς, Ὀ. Τ. 1529–1530.

3. Θνητῶν δὲ μηδεὶς μηδέν' ὄλβιόν ποτε
κρίνῃ, πρὶν αὐτὸν εὖ τελευτήσαντ' ἴδῃ.
— Διονύσιος ὁ τραγῳδοποιός, Ἀπ. 3 N².

4. The call to battle as the Greeks entered the battle of Salamis, 480 B.C.

Ὦ παῖδες Ἑλλήνων ἴτε,
ἐλευθεροῦτε πατρίδ', ἐλευθεροῦτε δὲ
παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη,
θήκᾱς τε προγόνων· νῦν ὑπὲρ πάντων ἀγών.
— Αἰσχύλος, Πέρσαι, 402–405.

ΣΧΟΛΙΑ

θανόντα = ἀπο-θανόντα.

4. *Cf.* Browning's translation in *Balaustion's Adventure:*

That song of ours which saved at Salamis:
"O sons of Greece, go, set your country free,
Free your wives," etc.

ΠΡΟΣΘΗΚΗ

1. Μή ποτ' ἐπ-αινήσῃς, πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνῶς,
ὀργὴν καὶ ῥυθμὸν καὶ τρόπον ὅντιν'[1] ἔχει.
— Θέογνις, 963–964.

[1] *ὅντινα* accusative of *ὅστις*.

2. Μή μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ
χερσίν τε σπεύδοι χρήμασί τ', ἀμφότερα.
— Τοῦ αὐτοῦ, 979–980.

3. Οὐκ ἔστιν οὐδὲν χωρὶς ἀνθρώποις θεῶν·
σπουδάζομεν δὲ πόλλ' ὑπ' ἐλπίδων, μάτην
πόνους ἔχοντες, οὐδὲν εἰδότες σαφές.
— Τοῦ Σοφοκλέους, 'Απ. 391 N².

LXXII. ἑβδομήκοντα καὶ δύο. οβ'

Ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς. — Παροιμίᾱ Ἑλληνική.

Verbs with Second Aorists:

1) Verbs with *Thematic* Second Aorists, Lesson LIII.

2) Verbs with *Non-thematic* Second Aorists. (See §§ 63, 86.)

a) Those with *Thematic* Presents:

ἀπο-διδράσκω -δρᾱ́σομαι -ἔδρᾱν *run away* (δρα-).
ἀπ-έδρᾱν -δρῶ -δραίην —— -δρᾶναι -δρᾱ́ς.

βαίνω βήσομαι ἔβην βέβηκα *step, go* (βα-).
ἔβην βῶ βαίην βῆθι βῆναι βᾱ́ς.

γιγνώσκω γνώσομαι ἔγνων ἔγνωκα ἐγνώσθην *recognize* (γνο-).
ἔγνων γνῶ γνοίην γνῶθι γνῶναι γνούς.

δύω or **δῡ́νω** or **δύομαι δῡ́σομαι ἔδῡν δέδῡκα** *enter* (δυ-).
ἔδῡν δῡ́ω —— δῦθι δῦναι δῡ́ς.

b) Those with *Non-thematic* Presents:

ἵστημι (for *σίστημι, § 19 a) *make stand, set* (στη- στα-).

τίθημι *place, put* (θη- θε-).

δίδωμι *give, offer* (δω- δο-).

ἵημι *send, let go* (ἡ- ἑ-).

Learn the conjugation of **ἵστημι**, § 87 A–B. Personal endings and thematic and non-thematic formations, §§ 53–56; non-thematic second aorists, § 63; peculiarities of the **μι**-verbs, § 77; reduplication with **ι**, § 60 b; the active participle in **-ᾱς**, § 50 C.

ἵστημι, στήσω, 1st A. **ἔστησα**, 2d A. **ἔστην, ἕστηκα** (for *σέστηκα), **ἐστάθην**. M. **ἵσταμαι, στήσομαι, ἐστησάμην**.[1]

ΟΝΟΜΑΤΑ ΤΕ ΚΑΙ ΡΗΜΑΤΑ

(α)

ἀν-ίστημι, *ἀνα-στήσω, ἀν-έστην, κτλ.* *(make) stand up.*

ἀφ-ίστημι, *ἀπο-στήσω, ἀπ-έστην, κτλ.* *(make) stand away.*

ἐφ-ίστημι, *ἐπι-στήσω, ἐπ-έστην, κτλ.* *(make) stand upon.*[2]

παρ-ίστημι, *παρα-στήσω, παρ-έστην, κτλ.* *(make) stand beside.*

φράζω, *φράσω, ἔφρασα, πέφρακα* *point out.* Mid. *point out to oneself, think, consider* (φραδ-).

(β)

ἀκμή (ἡ) *point, edge.* *Cf.* acme.

ἄλλοτε . . . ἄλλοτε *at one time . . . at another time.*

ξυρόν (τό) *razor.*

παῦρος poetic for ὀλίγος.

> Φράζεο· κίνδῡνός τοι ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς·
> ἄλλοτε πόλλ' ἕξεις, ἄλλοτε παυρότερα.
> — Θεόγνιδος, 557–558.

[1] Very few verbs have both a first and a second aorist. In such instances the first aorist is regularly *transitive* in meaning; the second, *intransitive*, thus: ἔστησα *I caused to stand*, ἔστην *I stood.* The aorist middle of this verb is transitive like the first aorist active: ἐστησάμην *I set up (for myself)*, etc. The perfect active is intransitive: ἕστηκα *I stand.* Many instances of the occurrence of this very important verb have already been met in the preceding lessons: ΠΡΩΤ. ΕΠΙΔ. 287, ἀνα-στήσᾱς ἐκ τῆς κλίνης, 23, ἀνα-στάς, 187, ἐπι-στάντες, ΛΥΣΙΣ 58, ἀν-έστησε τὸν Μενέξενον, κτλ.

[2] ἐπίσταμαι *I understand* (lit., *stand upon*), appears to be for ἐφ-ίσταμαι with a specialized meaning.

ΣΧΟΛΙΑ

φράζεο, uncontracted form of *φράζου*. *κίνδῡνος* here means *chance, risk*. *ἐπὶ ξυροῦ ἀκμῆς* (balanced) *upon the edge of a razor*. This is a common and very ancient proverb.

ΠΡΟΣΘΗΚΗ

Ἵστημι. First-Second Perfect: **ἕστηκα**, *κτλ.*, § 87 **A.**

1. Θεὸς συν-εργὸς πάντα ποιεῖ ῥᾳδίως.
— Μενάνδρου, Μον. 237.
2. Θεὸς δὲ τοῖς ἀργοῖσιν[1] οὐ παρ-ίσταται.
— Τοῦ αὐτοῦ, Μον. 242.
3. Θεὸς δ' ἁμαρτάνουσιν οὐ παρ-ίσταται.
— Τοῦ αὐτοῦ, Μον. 252.
4. Γνῶθι σεαυτόν. — Παροιμίᾱ Ἑλληνική.
5. Γίγνωσκε σαυτόν. — Αἰσχύλου Προμ. 309.
6. Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσ-ῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες, Τίς ἄρα μείζων[2] ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν; καὶ προσ-καλεσάμενος παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν καὶ εἶπεν· Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσ-έλθητε[3] εἰς τὴν βασιλείᾱν τῶν οὐρανῶν. ὅστις οὖν ταπεινώσει ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.
— Ἐκ τοῦ εὐαγγελίου τοῦ κατὰ Μαθθαῖον, ΙΗ', α'–δ'.

[1] *τοῖς ἀργοῖσιν = τοῖς ἀργοῖς.*

[2] *μείζων*, an instance of the use in late Greek of the comparative for the superlative (= *μέγιστος*).

[3] *οὐ μὴ εἰσ-έλθητε you will not enter.* § 159.

7. Καὶ ὅταν προσ-εύχησθε, οὐκ ἔσεσθε ὡς οἱ ὑποκριταί· ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσ-εύχεσθαι, ὅπως[1] φανῶσιν τοῖς ἀνθρώποις· ἀμὴν λέγω ὑμῖν, ἀπ-έχουσι τὸν μισθὸν αὐτῶν.

σὺ δὲ ὅταν προσ-εύχῃ, εἴσ-ελθε εἰς τὸ ταμιεῖόν σου, καὶ κλείσᾱς τὴν θύρᾱν σου πρόσ-ευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ. καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀπο-δώσει[2] σοι.

— Εκ τοῦ αὐτοῦ εὐαγγελίου, ϛ', έ-ϛ'.

LXXIII. ἑβδομήκοντα τρεῖς. ογ'

Review the preceding lesson (**ἵστημι**, and participles in **-ᾱς**, § 50 c).

Herewith Exercise 46.

1. Ἄνθρωποι δύο ἀν-έβησαν εἰς τὸ ἱερὸν προσ-εύξασθαι, εἷς Φαρισαῖος καὶ ὁ ἕτερος τελώνης. ὁ μὲν Φαρισαῖος σταθεὶς ταῦτα πρὸς ἑαυτὸν προσ-ηύχετο· Ὁ θεός, εὐχαριστῶ σοι ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ τελώνης· νηστεύω δὶς τοῦ σαββάτου, ἀπο-δεκατεύω πάντα ὅσα κτῶμαι.[3]

ὁ δὲ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς ἐπ-ᾶραι[4] εἰς τὸν οὐρανόν, ἀλλ'

[1] *ὅπως = ἵνα.*

[2] *ἀπο-δίδωμι, ἀπο-δώσω give back, make return.*

[3] Equals *ὅσα ἂν κτῶμαι as much as I get.*

[4] *ἐπ-αίρω lift up (upon), raise.*

ἔτυπτε τὸ στῆθος ἑαυτοῦ λέγων· Ὁ θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

—Ἐκ τοῦ εὐαγγελίου τοῦ κατὰ Λοῦκαν, ΙΗʹ, ιʹ–ιγʹ.

2. Ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ.

—Ἐκ τῆς πρώτης ἐπιστολῆς πρὸς Κορινθίους, Ιʹ, ιβʹ.

3. Ἰδού, ἕστηκα ἐπὶ τὴν θύρᾱν καὶ κρούω. ἐάν τις ἀκούσῃ τῆς φωνῆς μου καὶ ἀν-οίξῃ τὴν θύρᾱν, εἰσ-ελεύσομαι πρὸς αὐτὸν καὶ δειπνήσω μετ' αὐτοῦ καὶ αὐτὸς μετ' ἐμοῦ.

—Τῆς ἀποκαλύψεως Ἰωάνου, Γʹ, κʹ.

4. Διὰ τοῦτο ἀνα-λάβετε τὴν πανοπλίᾱν τοῦ θεοῦ, ἵνα δυνηθῆτε ἀντι-στῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ καὶ ἅπαντα κατ-εργασάμενοι στῆναι. στῆτε οὖν περι-ζωσάμενοι τὴν ὀσφῦν ὑμῶν ἐν ἀληθείᾳ,[1] καὶ ἐν-δῦσάμενοι τὸν θώρᾱκα τῆς δικαιοσύνης, καὶ ὑπο-δησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἐν πᾶσιν ἀνα-λαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ πεπυρωμένα σβέσαι.[2]

—Τῆς πρὸς Ἐφεσίους ἐπιστολῆς, ϛʹ, ιγʹ–ιϛʹ.

LXXIV. ἑβδομήκοντα τέτταρες. οδʹ

Οἶδα Σωκράτη δεικνύντα τοῖς συν-οὖσιν ἑαυτὸν καλὸν κἆγαθὸν ὄντα καὶ δια-λεγόμενον κάλλιστα περὶ ἀρετῆς καὶ τῶν ἄλλων ἀνθρωπίνων.

—Ξενοφῶν ἐν τοῖς Σωκράτους Ἀπομνημονεύμασιν.

[1] ἐν ἀληθείᾳ = τῇ ἀληθείᾳ. So ἐν ἑτοιμασίᾳ (6), ἐν ᾧ (8).

[2] πεπυρωμένα (πυρόω *set on fire*). σβέσαι (σβέννῡμι) *to extinguish*. *Cf.* ἄ-σβεστος.

Review the forms (§ 50 A, B, C a–e) and uses (§§ 173-176) of the participles. Review Lesson XXVII and Exercise 18.

Master the following verbs:

αἱρέω αἱρήσω εἷλον ᾕρηκα ᾑρέθην *grasp, seize, take,* etc. *Cf.* diaeresis.

αἱρέομαι -ήσομαι εἱλόμην (*take for oneself*) *choose.*

αἰσθάνομαι αἰσθήσομαι ᾐσθόμην ᾔσθημαι *perceive. Cf.* aesthetic.

δείκνῡμι δείξω ἔδειξα *point out, show* (δεικ-). **δεικνύντα** § 50 C.

δια-πρᾱ́ττω -ξω -ξα *accomplish* (Act. and Mid.).

δι-ηγέομαι -ήσομαι -σάμην *describe, narrate.*

κτάομαι κτήσομαι ἐκτησάμην κέκτημαι *acquire.* The perfect means *possess.* § 137.

συλ-λέγω -ξω -ξα (M. **συλ-λέγομαι -ξομαι -ξάμην συν-είλεγμαι**) *collect.*

τυγχάνω τεύξομαι ἔτυχον τετύχηκα *hit, obtain* etc. (Gen.)

ΤΑ ΤΗΣ ΔΙΚΑΙΟΣΥΝΗΣ ΕΡΓΑ. Α'

Τοῖς νομίζουσι παιδείᾱς τε τῆς ἀρίστης τετυχηκέναι καὶ μέγα φρονοῦσιν ἐπὶ σοφίᾳ ὡς προσεφέρετο Σωκράτης, νῦν δι-ηγήσομαι. κατα-μαθὼν γὰρ Εὐθύδημον τὸν καλὸν γράμματα πολλὰ συνειλεγμένον ποιητῶν τε καὶ σοφιστῶν τῶν εὐδοκιμωτάτων, καὶ ἐκ τούτων ἤδη τε νομίζοντα δια-φέρειν τῶν ἡλικιωτῶν ἐν σοφίᾳ καὶ μεγάλᾱς ἐλπίδας ἔχοντα πάντων δι-οίσειν τῷ δύνασθαι λέγειν τε καὶ πράττειν, πρῶτον μὲν αἰσθανόμενος αὐτὸν διὰ νεότητα

οὔπω εἰς τὴν ἀγορὰν εἰσ-ιόντα, εἰ δέ τι βούλοιτο δια-πρᾶξασθαι, καθ-ίζοντα εἰς ἡνιοποιεῖόν τι τῶν ἐγγὺς τῆς ἀγορᾶς, εἰς τοῦτο καὶ αὐτὸς ᾔει τῶν μεθ' ἑαυτοῦ τινὰς ἔχων.

ΣΧΟΛΙΑ

2. ὡς προσ-εφέρετο τοῖς νομίζουσι *how he dealt with*, etc.
3. τῷ δύνασθαι, κτλ. *in the ability*, etc.
9. αἰσθανόμενος, the subject is Socrates. αὐτόν, *i.e.* Euthydemus.
13. ἔχων *having*, i.e. *with*.

ΠΡΟΣΘΗΚΗ

ΤΑ ΤΗΣ ΔΙΚΑΙΟΣΥΝΗΣ ΕΡΓΑ. Β'

Παρα-καθ-εζομένου δ' αὐτῷ τοῦ Εὐθυδήμου, "Εἰπέ μοι," ἔφη, "ὦ Εὐθύδημε, τῷ ὄντι, ὥσπερ ἐγὼ ἀκούω, πολλὰ γράμματα συν-ῆχας τῶν λεγομένων σοφῶν ἀνδρῶν γεγονέναι;" Καὶ ὁ Εὐθύδημος, "Νὴ τὸν Δία," ἔφη, "ὦ Σώκρατες· καὶ ἔτι γε συν-άγω, ἕως ἂν κτήσωμαι ὡς ἂν δύνωμαι πλεῖστα." "Νὴ τὴν Ἥρᾱν," ἔφη ὁ Σωκράτης, "ἄγαμαί γέ σου, διότι οὐκ ἀργυρίου καὶ χρῡσίου προ-είλου θησαυροὺς κεκτῆσθαι μᾶλλον ἢ σοφίᾱς. δῆλον γὰρ ὅτι νομίζεις ἀργύριον καὶ χρῡσίον οὐδὲν βελτίους ποιεῖν τοὺς ἀνθρώπους, τὰς δὲ τῶν σοφῶν ἀνδρῶν γνώμᾱς ἀρετῇ πλουτίζειν τοὺς κεκτημένους."

καὶ ὁ Εὐθύδημος ἔχαιρεν ἀκούων ταῦτα, νομίζων δοκεῖν τῷ Σωκράτει ὀρθῶς μετ-ιέναι τὴν σοφίᾱν.

ΣΧΟΛΙΑ

20. ἄγαμαί γέ σου *I ADMIRE you*.
27. μετ-ιέναι *to be pursuing*.

LXXV. πέντε καὶ ἑβδομήκοντα. οε

Review the aorist passive (see Lesson LX) and learn the declension of the participles in **-είς**, § 50 C. Like **θείς** decline **ἡσθείς** *pleased*, **πεισθείς** *persuaded*, **φανείς** *having appeared*. Middle verbs with aorists of passive form, § 141.

Master the following verbs:

αἰσχῡ́νομαι αἰσχῠνοῦμαι ᾐσχύνθην *be ashamed, feel disgrace.*

ἀρνέομαι -ήσομαι ἠρνήθην *deny, refuse.*

βούλομαι βουλήσομαι ἐβουλήθην *wish, be willing.*

δέομαι δεήσομαι ἐδεήθην *be in need of, want* (Gen.).

δια-λέγομαι -λέξομαι δι-ελέχθην *converse with* (Dat.).

ἥδομαι ἡσθήσομαι ἥσθην (*please oneself with*), *be pleased with, delight in* (Dat. or Part.).

πορεύομαι -εύσομαι ἐπορεύθην *proceed, go.*

φαίνομαι φᾰνοῦμαι ἐφάνην *show oneself, appear.* (*Cf. φαίνω.*)

φοβέομαι -ήσομαι ἐφοβήθην *fear.* (*Cf. φόβος.*)

ΤΑ ΤΗΣ ΔΙΚΑΙΟΣΥΝΗΣ ΕΡΓΑ. Γ'

ὁ δὲ Σωκράτης κατα-μαθὼν αὐτὸν ἡσθέντα τῷ ἐπαίνῳ τούτῳ, "Τί δὲ δὴ βουλόμενος ἀγαθὸς γενέσθαι," ἔφη, "ὦ Εὐθύδημε, συλ-λέγει τὰ γράμματα;" ἐπεὶ δὲ δι-εσῑώπησεν ὁ Εὐθύδημος ὡς σκοπῶν ὅ τι ἀπο-κρῑ́ναιτο, πάλιν ὁ Σωκράτης, "Ἆρα μὴ ἰᾱτρός;" ἔφη. "πολλὰ γὰρ καὶ ἰᾱτρῶν ἐστὶ συγ-γράμματα." καὶ ὁ Εὐθύδημος, "Μὰ Δί'," ἔφη, "οὐκ ἔγωγε." "Ἀλλὰ μὴ ἀρχιτέκτων βούλει γενέσθαι;" "Οὔκουν

ἔγωγε," ἔφη. "Ἀλλὰ μὴ γεωμέτρης ἐπι-θῡμεῖς," ἔφη, "γενέσθαι ἀγαθός, ὥσπερ ὁ Θεόδωρος;" "Οὐδὲ γεωμέτρης," ἔφη. "Ἀλλὰ μὴ ἀστρολόγος," ἔφη, "βούλει γενέσθαι;" ὡς δὲ καὶ τοῦτο ἠρνεῖτο, "Ἀλλὰ μὴ ῥαψῳδός;" ἔφη. "καὶ γὰρ τὰ Ὁμήρου σέ φᾱσιν ἔπη πάντα κεκτῆσθαι." "Μὰ Δί' οὐκ ἔγωγε," ἔφη. "τοὺς γάρ τοι ῥαψῳδοὺς οἶδα τὰ μὲν ἔπη ἀκρῑβοῦντας, αὐτοὺς δὲ πάνυ ἠλιθίους ὄντας."

καὶ ὁ Σωκράτης ἔφη· "Οὐ δήπου, ὦ Εὐθύδημε, ταύτης τῆς ἀρετῆς ἐφ-ίεσαι, δι' ἣν ἄνθρωποι πολῑτικοὶ γίγνονται καὶ οἰκονομικοὶ καὶ ἄρχειν ἱκανοὶ καὶ ὠφέλιμοι τοῖς τ' ἄλλοις ἀνθρώποις καὶ ἑαυτοῖς;" καὶ ὁ Εὐθύδημος, "Σφόδρα γ'," ἔφη, "ὦ Σώκρατες, ταύτης τῆς ἀρετῆς δέομαι."

ΣΧΟΛΙΑ

31. *δι-εσῑώπησε fell into a profound silence.*
31 f. *ὅ τι ἀπο-κρίναιτο* for *τί ἀπο-κρίνωμαι.* § 179, II B.
45. *ἐφ-ίεσαι you are seeking, you desire. ἐφ-ίημι.* § 98.

ΠΡΟΣΘΗΚΗ

ΤΑ ΤΗΣ ΔΙΚΑΙΟΣΥΝΗΣ ΕΡΓΑ. Δ'

"Νὴ Δί'," ἔφη ὁ Σωκράτης, "καλλίστης ἀρετῆς καὶ μεγίστης ἐφ-ίεσαι τέχνης. ἔστι γὰρ τῶν βασιλέων αὕτη καὶ καλεῖται βασιλική. ἀτάρ," ἔφη, "κατα-νενόηκας εἰ οἷόν τ' ἐστὶ μὴ ὄντα δίκαιον ἀγαθὸν ταῦτα γενέσθαι;" "Καὶ μάλ'," ἔφη ὁ Εὐθύδημος, "καὶ οὐχ οἷόν τέ γ' ἄνευ δικαιοσύνης ἀγαθὸν πολίτην γενέσθαι."

"Τί οὖν;" ἔφη, "σὺ δὴ τοῦτο κατ-είργασαι;" "Οἶμαί γ'," ἔφη, "ὦ Σώκρατες, οὐδενὸς ἂν ἧττον φανῆναι δίκαιος." "Ἆρ' οὖν," ἔφη, "τῶν δικαίων ἐστὶν ἔργα ὥσπερ τῶν τεκτόνων;" "Ἔστι μέντοι," ἔφη.

ΣΧΟΛΙΑ

57. κατ-είργασαι *have you achieved* (κατ-εργάζομαι).
58. οὐδενὸς . . . δίκαιος *would appear as just as any (one else)*

LXXVI. ἑβδομήκοντα ἕξ. ος´

Σκηνὴ πᾶς ὁ βίος καὶ παίγνιον· ἢ μάθε παίζειν
τὴν σπουδὴν μετα-θείς, ἢ φέρε τὰς ὀδύνᾱς.
—Ἐκ τῆς Ἀνθολογίᾱς.

All Life is but a Stage, a Play;
Take then your part,
And put all seriousness away.
Or bear the smart.
—Translation by Dr. Walter Headlam.

Review the declension of the participles in **-είς** (§ 50 C) and learn the conjugation of **τίθημι** *put, place*, § 88.

Τίθημι is compounded with eighteen prepositions; note the following:

ἀνα-τίθημι *set up, dedicate. Cf.* anathema.
ἀπο-τίθημι *put off from, lay aside. Cf.* apothecary.
ἐπι-τίθημι *place upon. Cf.* epithet.
κατα-τίθημι *set down, deposit.*
μετα-τίθημι *transpose. Cf.* metathesis.
παρα-τίθημι *set by the side of. Cf.* parenthesis.
προσ-τίθημι *add to. Cf.* *προσ-θήκη.*
συν-τίθημι *put together, compose. Cf.* synthesis.

ΤΑ ΤΗΣ ΔΙΚΑΙΟΣΥΝΗΣ ΕΡΓΑ. Ε′

“Βούλει οὖν,” ἔφη ὁ Σωκράτης, “γράψωμεν ἐνταυθοῖ μὲν δέλτα, ἐνταυθοῖ δὲ ἄλφα; εἶτα ὅ τι μὲν ἂν δοκῇ ἡμῖν τῆς δικαιοσύνης ἔργον εἶναι, πρὸς τὸ δέλτα τιθῶμεν, ὅ τι δ᾽ ἂν τῆς ἀδικίᾱς, πρὸς τὸ ἄλφα;” “Εἴ τί σοι δοκεῖ,” ἔφη, “προσ-δεῖν τούτων, ποίει ταῦτα.” καὶ ὁ Σωκράτης γράψᾱς ὥσπερ εἶπεν, “Οὐκοῦν,” ἔφη, “ἔστιν ἐν ἀνθρώποις ψεύδεσθαι;” “Ἔστι μέντοι,” ἔφη. “Ποτέρωσε οὖν,” ἔφη, “θῶμεν τοῦτο;” “Δῆλον,” ἔφη, “ὅτι πρὸς τὴν ἀδικίᾱν.” “Οὐκοῦν,” ἔφη, “καὶ ἐξ-απατᾶν ἔστι;” “Καὶ μάλα,” ἔφη. “Τοῦτο οὖν ποτέρωσε θῶμεν;” “Καὶ τοῦτο δῆλον ὅτι,” ἔφη, “πρὸς τὴν ἀδικίᾱν.” “Τί δὲ τὸ κακουργεῖν;” “Καὶ τοῦτο,” ἔφη. “Τὸ δὲ ἀνδραποδίζεσθαι;” “Καὶ τοῦτο.” “Πρὸς δὲ τῇ δικαιοσύνῃ οὐδὲν ἡμῖν τούτων κείσεται, ὦ Εὐθύδημε;” “Δεινὸν γὰρ ἂν εἴη,” ἔφη. “Τί δ᾽; ἐάν τις στρατηγὸς αἱρεθεὶς ἄδικόν τε καὶ ἐχθρᾶν πόλιν ἐξ-ανδραποδίσηται, φήσομεν τοῦτον ἀδικεῖν;” “Οὐ δῆτα,” ἔφη. “Δίκαια δὲ ποιεῖν οὐ φήσομεν;” “Καὶ μάλα.” “Τί δ᾽; ἐὰν ἐξ-απατᾷ πολεμῶν αὐτοῖς;” “Δίκαιον,” ἔφη, “καὶ τοῦτο.” “Ἐὰν δὲ κλέπτῃ τε καὶ ἁρπάζῃ τὰ τούτων, οὐ δίκαια ποιήσει;” “Καὶ μάλα,” ἔφη· “ἀλλ᾽ ἐγώ σε τὸ πρῶτον ὑπ-ελάμβανον πρὸς τοὺς φίλους μόνον ταῦτα ἐρωτᾶν.” “Οὐκοῦν,” ἔφη, “ὅσα πρὸς τῇ ἀδικίᾳ ἐθήκαμεν, ταῦτα καὶ πρὸς τῇ δικαιοσύνῃ θετέον ἂν εἴη;” “Ἔοικεν,” ἔφη.

ΣΧΟΛΙΑ

65. *τι . . . προσ-δεῖν τούτων to be any need of this.*
77. *στρατηγὸς αἱρεθεὶς having been elected general.*
86. *ἐθήκαμεν = ἔθεμεν.*

LXXVII. ἑβδομήκοντα ἑπτά. οζʹ

Μηδὲν ἄγᾱν. — Παροιμίᾱ.

Review the conjugation of **τίθημι**, § 88, making use also of the drill in Exercise 47.

ΤΑ ΤΗΣ ΔΙΚΑΙΟΣΥΝΗΣ ΕΡΓΑ. ϛʹ

"Βούλει οὖν," ἔφη, "ταῦτα οὕτω θέντες δι-ορισώμεθα πάλιν, πρὸς μὲν τοὺς πολεμίους δίκαιον εἶναι τὰ τοιαῦτα ποιεῖν, πρὸς δὲ τοὺς φίλους ἄδικον, ἀλλὰ δεῖν πρός γε τούτους ὡς ἁπλούστατον εἶναι;" "Πάνυ μὲν οὖν," ἔφη ὁ Εὐθύδημος. "Τί οὖν;" ἔφη ὁ Σωκράτης, "ἐάν τις στρατηγὸς ὁρῶν ἀθῡ́μως ἔχον τὸ στράτευμα ψευσάμενος φήσῃ συμ-μάχους προσ-ιέναι καὶ τῷ ψεύδει τούτῳ παύσῃ τῆς ἀθῡμίᾱς τοὺς στρατιώτᾱς, ποτέρωθι τὴν ἀπάτην ταύτην θήσομεν;" "Δοκεῖ μοι," ἔφη, "πρὸς τὴν δικαιοσύνην." "Τί δέ; ἐάν τις, ἐν ἀθῡμίᾳ ὄντος φίλου, δείσᾱς μὴ δια-χρήσηται ἑαυτόν, κλέψῃ ἢ ἁρπάσῃ ἢ ξίφος ἢ ἄλλο τι τοιοῦτον, τοῦτο αὖ ποτέρωσε θετέον;" "Καὶ τοῦτο νὴ Δί'," ἔφη, "πρὸς τὴν δικαιοσύνην." "Λέγεις," ἔφη, "σὺ οὐδὲ πρὸς τοὺς φίλους ἅπαντα δεῖν ἁπλοΐζεσθαι;" "Μὰ Δί' οὐ δῆτα," ἔφη, "ἀλλὰ μετα-τίθεμαι τὰ εἰρημένα, εἴπερ ἔξ-εστι." "Δεῖ γέ τοι," ἔφη ὁ Σωκράτης, "ἐξ-εῖναι πολὺ μᾶλ-

λον ἢ μὴ ὀρθῶς τιθέναι." "Ἀλλ', ὦ Σώκρατες, οὐκέτι μὲν ἔγωγε πιστεύω οἷς ἀπο-κρίνομαι· καὶ γὰρ τὰ πρόσθεν πάντα νῦν ἄλλως ἔχειν δοκεῖ μοι ἢ ὡς ἐγὼ τότε ᾤόμην."

—Ἐκ τῶν Ξενοφῶντος Ἀπομνημονευμάτων.

ΣΧΟΛΙΑ

88. *δι-ορισώμεθα πάλιν, κτλ. make a new distinction* (*and say*) *that it is right*, etc.

91. *ἀλλὰ δεῖν, κτλ. but that one ought*, etc.

93. *ἀθύμως ἔχον discouraged.*

94. *ψευσάμενος φήσῃ συμ-μάχους προσ-ιέναι falsely declare that reënforcements are coming. φήσῃ* aor. subj. of *φημί*.

99. *δείσᾱς μὴ δια-χρήσηται ἑ. fearing lest he destroy himself* (*δια-χράομαι*).

107. *πιστεύω οἷς ἀ. = πιστ. τούτοις ἃ ἀ.* § 102.

LXXVIII. ἑβδομήκοντα καὶ ὀκτώ. οη´

Contract Nouns of the First Declension, § 28 D; Uses of the Genitive: with verbs of *caring for*, etc., § 115 h; of *price*, § 116 e; with adjectives, § 117; with improper prepositions, § 130.

ΑΙ ΦΙΛΩΝ ΑΞΙΑΙ. Α´

Ἤκουσα δέ ποτε καὶ ἄλλον Σωκράτους λόγον, ὃς ἐδόκει μοι προ-τρέπειν τὸν ἀκούοντα ἐξ-ετάζειν ἑαυτόν, ὁπόσου τοῖς φίλοις ἄξιος εἴη. ἰδὼν γάρ τινα τῶν συν-όντων ἀμελοῦντα φίλου πενίᾳ πιεζομένου, ἤρετο Ἀντισθένη ἐναντίον τοῦ ἀμελοῦντος αὐτοῦ καὶ ἄλλων πολλῶν· "Ἆρ'," ἔφη, "ὦ Ἀντίσθενες, εἰσί τινες ἀξίαι φίλων, ὥσπερ οἰκετῶν; τῶν γὰρ

οἰκετῶν ὃ μέν που δυοῖν μναῖν ἄξιός ἐστιν, ὃ δὲ οὐδ᾽ ἡμι-μναίου, ὃ δὲ πέντε μνῶν, ὃ δὲ καὶ δέκα· Νῑκίᾱς δὲ ὁ Νῑκηράτου λέγεται ἐπιστάτην εἰς τἀργύρεια πρίασθαι ταλάντου· σκοποῦμαι δὴ τοῦτο," ἔφη, "εἰ ἄρα, ὥσπερ τῶν οἰκετῶν, οὕτω καὶ τῶν φίλων εἰσὶν ἀξίαι." "Ναὶ μὰ Δί᾽," ἔφη ὁ Ἀντισθένης· "ἐγὼ γοῦν βουλοίμην ἂν τὸν μέν τινα φίλον μοι εἶναι μᾶλλον ἢ δύο μνᾶς, τὸν δ᾽ οὐδ᾽ ἂν ἡμι-μναίου προ-τῑμησαίμην, τὸν δὲ καὶ πρὸ δέκα μνῶν ἑλοίμην ἄν, τὸν δὲ πρὸ πάντων χρημάτων καὶ πόνων πριαίμην ἂν φίλον μοι εἶναι."

— Καὶ ἐκ τῶν Ξενοφῶντος Ἀπομνημονευμάτων.

ΣΧΟΛΙΑ

2. ἐξ-ετάζειν ἑ. ὁπόσου, κτλ. *to examine himself as to how much*, etc.

5. ἐν. τοῦ ἀμελοῦντος αὐτοῦ *in the presence of the man himself* (i.e. *of the one who was neglecting his friend*).

8. δυοῖν μναῖν. Gen. of the dual: *two minae.*

11. πρίασθαι, and 18. πριαίμην *buy* (ὠνέομαι). σκοποῦμαι τοῦτο εἰ, κτλ. *I am considering* (*inquiring, wondering*) *this, whether*, etc.

14 ff. τὸν μὲν . . τὸν δέ. § 191.

LXXIX. ἑνὸς δέοντες ὀγδοήκοντα. οθʹ

Ἀπό-δοτε τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ.

— Ἐκ τοῦ εὐαγγελίου τοῦ κατὰ Λοῦκαν, Κʹ, κεʹ.

Learn the conjugation of **δίδωμι** *offer, give*, § 89, including the participles in **-ούς**, § 50 c.

Herewith Exercise 48.

Of the compounds of **δίδωμι** note the following:

ἀντι-δίδωμι *give in return.* *Cf.* antidote.
ἀπο-δίδωμι *give back, restore.* *Cf.* apodosis.
ἀπο-δίδομαι *sell.*[1]
μετα-δίδωμι *give a share of* (Gen.).
παρα-δίδωμι *give to another, hand over to.*
προ-δίδωμι *betray.*

ΑΙ ΦΙΛΩΝ ΑΞΙΑΙ. Β′

"Οὐκοῦν," ἔφη ὁ Σωκράτης, "εἴ γε ταῦτα τοιαῦτά ἐστι, καλῶς ἂν ἔχοι ἐξ-ετάζειν τινὰ ἑαυτόν, πόσου ἄρα τυγχάνει τοῖς φίλοις ἄξιος ὤν, καὶ πειρᾶσθαι ὡς πλείστου ἄξιος εἶναι, ἵνα ἧττον αὐτὸν οἱ φίλοι προ-διδῶσιν. ἐγὼ γάρ τοι," ἔφη, "πολλάκις ἀκούω τοῦ μέν, ὅτι προὔδωκεν αὐτὸν φίλος ἀνήρ, τοῦ δέ, ὅτι μνᾶν ἀνθ' ἑαυτοῦ μᾶλλον εἵλετο ἀνὴρ ὃν ᾤετο φίλον εἶναι. τὰ τοιαῦτα πάντα σκοπῶ, μὴ ὥσπερ ὅταν τις οἰκέτην πονηρὸν πωλῇ καὶ ἀπο-διδῶται τοῦ εὑρόντος, οὕτω καὶ τὸν πονηρὸν φίλον, ὅταν ἐξ-ῇ τὸ πλεῖον τῆς ἀξίᾱς λαβεῖν, ἐπαγωγὸν ᾖ ἀπο-δίδοσθαι. τοὺς δὲ χρηστοὺς οὔτε οἰκέτᾱς πάνυ τι πωλουμένους ὁρῶ οὔτε φίλους προ-διδομένους."

ΣΧΟΛΙΑ

24. ἀκούω τοῦ μέν, ὅτι, κτλ. *I hear one (complaining) that,* etc. προὔδωκεν = προ-έδωκεν.

27. μὴ . . . ἐπαγωγὸν ᾖ (29–30) *lest it be a temptation.*

28. ἀπο-διδῶται τοῦ εὑρόντος *sell for what he will fetch.*

29. ὅταν ἐξ-ῇ . . . λαβεῖν *whenever it is possible to get,* etc.

[1] ἀπο-δίδοσθαι *to sell.* πωλεῖν *to offer for sale.*

LXXX. ὀγδοήκοντα. π'

Τὸ Ὀγδοηκοστὸν Μάθημα

Ὅ τι τοι φύσις ἀνέρι δῷ,
τόδ' οὔποτ' ἂν ἐξ-έλοις.
—Σοφοκλέους, Ἀπόσ. 739 N².

Review the conjugation of **δίδωμι**, § 89, and learn that of **δείκνῡμι** *point out, show,* § 90, together with the declension of the participles in **-ῡ́ς**, § 50 C.

Herewith Exercise 49.

1. Οὔ τοι δίκαιον οὔτε τοὺς κακοὺς μάτην
χρηστοὺς νομίζειν οὔτε τοὺς χρηστοὺς κακούς.
. . . .
χρόνος δίκαιον ἄνδρα δείκνῡσιν μόνος,
κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ.
—Σοφοκλέους, Ὀ. Τ. 609–615.

2. Τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι χρόνου,
δείκνῡσι δ' ἡμῶν ὅστις ἐστὶ μὴ κακός.
—Εὐριπίδου, Ἀπ. 222 N².

3. Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσιν
Κύρν'· ἀρετῆς δ' ὀλίγοις ἀνδράσι μοῖρ' ἕπεται
—Θεόγνιδος, 149–150.

4. Πάντας τοὺς διδάσκοντας ὁρῶ αὐτοὺς δεικνύντας τε τοῖς μανθάνουσιν, ᾗπερ αὐτοὶ ποιοῦσιν ἃ διδάσκουσι, καὶ τῷ λόγῳ προσ-βιβάζοντας. οἶδα δὲ καὶ Σωκράτη δεικνύντα τοῖς συν-οῦσιν ἑαυτὸν

καλὸν κἀγαθὸν ὄντα καὶ δια-λεγόμενον κάλλιστα περὶ ἀρετῆς καὶ τῶν ἄλλων ἀνθρωπίνων.

—*Ξενοφῶν.*

5. *Ὦ φίλε Πάν τε καὶ ἄλλοι ὅσοι τῇδε θεοί, δοίητέ μοι καλῷ γενέσθαι τἄνδοθεν· ἔξωθεν δ᾽ ὅσα ἔχω, τοῖς ἐντὸς εἶναί μοι φίλια. πλούσιον δὲ νομίζοιμι τὸν σοφόν. τὸ δὲ χρῡσοῦ πλῆθος εἴη μοι ὅσον μήτε φέρειν μήτε ἄγειν δύναιτ᾽ ἄλλος ἢ ὁ σώφρων.*

—*Σωκράτης ἐν τῷ Πλάτωνος Φαίδρῳ.*

ΣΧΟΛΙΑ

ὅ τι ἀνέρι δῷ = ὅ τι ἂν ἀνδρὶ δῷ.

1. *κἂν = καὶ ἄν.*

4 *τῷ λόγῳ προσ-βιβάζοντας* (sc. *αὐτούς*) *persuading them by their precepts.*

5. *δοίητε = δοῖτε.* *τἄνδοθεν = τὰ ἔνδοθεν in the inward parts.* *ἔξωθεν ὅσα ἔχω such outward advantages as I possess.* *μήτε φ. μήτε ἀ. neither bear nor carry.* See Lesson VI, ΣΧΟΛΙΟΝ, and § 164, 3.

An Attic Inscription, 600–500 b.c.



[Ἀ]λκίβιος ἀν-έθηκεν κιθαρῳδὸς νησιώτης.

ADDITIONAL SELECTIONS FOR READING

I

Η ΑΡΠΑΓΟΥ ΤΙΜΩΡΙΑ

This selection, *The Punishment of Harpagus*, is taken from the first book of Herodotus (108 ff.), and serves to illustrate the studied cruelty of oriental torture.

Asty′ages (ὁ Ἀστυάγης), king of the Medes and Persians (594–559 B.C.), fearing lest his grandson would some day supplant him in the kingdom, determined to make away with the boy in his infancy. Accordingly, summoning the nobleman Har′pagus, his chief administrator and the most faithful of his subjects, Astyages gave orders that the child, the son of his daughter Man′danê and Camby′ses, the Persian, be put to death.

Ὁ οὖν Ἀστυάγης καλέσᾱς Ἅρπαγον, ἄνδρα οἰκεῖον καὶ πιστότατόν τε Μήδων καὶ πάντων ἐπίτροπον τῶν ἑαυτοῦ, ἔλεγεν αὐτῷ τοιάδε· "Ἅρπαγε, τὸ πρᾶγμα ὃ ἂν σοι προσ-θῶ, μηδαμῶς παρα-χρήσῃ, μηδὲ ἐμέ τε παρα-βάλῃ καὶ ἄλλους ἑλόμενος ἐξ ὑστέρᾱς σεαυτῷ περι-πέσῃς. λαβὲ ὃν Μανδάνη ἔτεκε παῖδα, φέρων δὲ ἐς σεαυτοῦ ἀπόκτεινον. μετὰ δὲ θάψον αὐτὸν ὅτῳ τρόπῳ σὺ αὐτὸς

4. μηδαμῶς παρα-χρήσῃ (παρα-χράομαι) *by no means disregard* (lit., *abuse, misuse*). § 157.

5. παρα-βάλῃ (παρα-βάλλομαι *throw aside, deceive*).

6. ἐξ ὑστέρᾱς (ὥρᾱς) *later*. σεαυτῷ περι-πέσῃς (περι-πίπτω) *fall foul of yourself, be your own undoing*.

7. ἐς σεαυτοῦ *to your own* (*home*). ἐς (= εἰς) is the form regularly employed by Herodotus, as by Thucydides. It is very common in early Greek. Attic prose (except Thucydides) regularly employs εἰς.

8. μετά *afterwards* = μετὰ ταῦτα. ὅτῳ τρόπῳ *in whatever manner*

βούλει." ὁ δ' ἀπο-κρίνεται· "Ὦ βασιλεῦ, οὔτε ἄλλοτέ πω παρ-εῖδες τῷδε τῷ ἀνδρὶ ἄχαρι οὐδέν, ἔς τε τὸν ὕστερον χρόνον φυλαττόμεθα μηδὲν ἐς σὲ ἐξ-αμαρτεῖν. ἀλλ' εἴ σοι φίλον τοῦτο οὕτω γίγνεσθαι, χρὴ δὴ τό γ' ἐμὸν ὑπηρετεῖσθαι ἐπιτηδείως."

ταῦτα ἀπο-κρῑνάμενος ὁ Ἅρπαγος, ὡς παρ-εδόθη αὐτῷ τὸ παιδίον κεκοσμημένον τὴν ἐπὶ θανάτῳ, κλαίων οἴκαδε ἀπ-ῄει. παρ-ελθὼν δ' ἔφραζε τῇ ἑαυτοῦ γυναικὶ τὸν πάντα ὑπὸ Ἀστυάγους ῥηθέντα λόγον. ἡ δὲ πρὸς αὐτὸν λέγει· "Νῦν οὖν τί σοι ἐν νῷ ἐστὶ ποιεῖν;" ὁ δ' ἀπο-κρίνεται· "Οὐχ ᾗ ἐκέλευσεν Ἀστυάγης. οὐδ' εἰ παρα-φρονήσει τε καὶ μανεῖται κάκῑον ἢ νῦν μαίνεται, οὐκ ἔγωγε προσθήσομαι αὐτῷ τῇ γνώμῃ οὐδ' ἐς φόνον τοιοῦτον ὑπηρετήσω. πολλῶν δ' ἕνεκα οὐ φονεύσω αὐτόν, καὶ ὅτι ἐμοὶ αὐτῷ συγ-γενής ἐστιν ὁ παῖς, καὶ ὅτι ὁ Ἀστυάγης μὲν γέρων τ' ἐστὶ καὶ ἄ-παις. εἰ δ' ἐθελήσει, τούτου τελευτήσαντος, ἐς τὴν θυγατέρα ταύτην ἀνα-βῆναι ἡ τυραννίς, ἧς νῦν τὸν υἱὸν ἀποκτείνει δι' ἐμοῦ, ἄλλο τι ἢ λείπεται τὸ ἐντεῦθεν ἐμοὶ

9. οὔτε ἄλλοτέ πω παρ-εῖδες, κτλ. *neither at any time in the past* (πω) *have you observed any untowardness in this man* (i.e. *in myself*), *and*, etc.

13. χρὴ τό γ' ἐμὸν ὑπηρετεῖσθαι ἐπιτ. *my* (*service*) *must be rendered dutifully*.

15. κεκοσμημένον τὴν ἐπὶ θανάτῳ (στολήν) *dressed* (*in*) *the robe for death, robed for burial*.

17. ῥηθέντα *spoken* (φημί ἐρῶ εἶπον εἴρηκα ἐρρήθην).

22. οὐ προσ-θήσομαι αὐτῷ τῇ γνώμῃ *I will not give assent to his resolve*

25. ἄ-παις *childless*, i.e. *without a son*.

26. ἐθελήσει . . . ἀνα-βῆναι *shall* (*is about to*) *pass to*.

28. **ἄλλο τι ἤ; § 178, II.**

κινδῡ́νων ὁ μέγιστος; ἀλλὰ τῆς μὲν ἀσφαλείᾱς ἕνεκα ἐμοὶ δεῖ τοῦτον τελευτᾶν τὸν παῖδα, δεῖ μέντοι τινὰ τῶν τοῦ Ἀστυάγους αὐτοῦ φονέᾱ γενέσθαι καὶ μὴ τῶν ἐμῶν."

ταῦτ' εἶπε καὶ αὐτίκα ἄγγελον ἔπεμπεν ἐπὶ τῶν βουκόλων τῶν Ἀστυάγους ὃν ἠπίστατο νομᾱ́ς τ' ἐπιτηδειοτάτᾱς νέμοντα καὶ ὄρη θηριωδέστατα. τούτῳ ὄνομα ἦν Μιθραδᾱ́της. συν-ῴκει δ' ἑαυτοῦ συν-δούλῃ, ὄνομα δὲ τῇ γυναικὶ ἦν, ᾗ συν-ῴκει, Κυνὼ κατὰ τὴν τῶν Ἑλλήνων γλῶτταν, κατὰ δὲ τὴν Μηδικὴν Σπακώ· τὴν γὰρ κύνα καλοῦσι σπάκα Μῆδοι.

ἐπεὶ οὖν ὁ βουκόλος σπουδῇ πολλῇ καλούμενος ἀφ-ίκετο, ἔλεγεν ὁ Ἅρπαγος τάδε· "Κελεύει σε Ἀστυάγης τὸ παιδίον τοῦτο λαβόντα θεῖναι ἐς τὸ ἐρημότατον τῶν ὀρῶν, ὅπως ἂν τάχιστα δια-φθαρείη. καὶ τάδε σοι ἐκέλευσεν εἰπεῖν, ἢν μὴ ἀπο-κτείνῃς αὐτό, ἀλλὰ τρόπῳ τινὶ περι-ποιήσῃς, θανάτῳ τῷ κακίστῳ σε δια-χρήσεσθαι. ἐφ-ορᾶν δ' αὐτὸ ἐκ-κείμενον τέταγμαι ἐγώ." ταῦτ' ἀκούσᾱς ὁ βουκόλος καὶ ἀνα-λαβὼν τὸ παιδίον ᾔει τὴν αὐτὴν ὀπίσω ὁδόν, καὶ ἀφ-ικνεῖται ἐς τὴν ἔπαυλιν.

τούτῳ δ' ἄρα καὶ αὐτῷ ἡ γυνή, ἐπίτεξ οὖσα πᾶσαν ἡμέρᾱν, τότε πως κατὰ δαίμονα τίκτει, οἰχομένου

31. τινὰ τῶν τοῦ Ἀστ. *some one of the (servants, household) of Ast.*

33. ἐπὶ τῶν βουκόλων . . . ὃν *to (one) of the herdsmen . . . whom.*

44. δια-φθαρείη (δ.α-φθείρω, A. P. δι-εφθάρην).

47. σε δια-χρήσεσθαι *(that) he will destroy you.*

48. τέταγμαι (τάττω).

51. ἐπίτεξ οὖσα πᾶσαν ἡμέρᾱν *being with child and daily expecting deliverance.*

τοῦ βουκόλου ἐς πόλιν. ἦσαν δ' ἐν φροντίδι ἀμφότεροι ἀλλήλων πέρι, ὃ μὲν περὶ τοῦ τόκου τῆς γυναικὸς ὀρρωδῶν, ἣ δὲ γυνὴ ὅ τι, οὐκ εἰωθώς, ὁ Ἅρπαγος μετα-πέμψαιτο αὐτῆς τὸν ἄνδρα. ἐπειδὴ δὲ οἴκαδ' ἐπ-αν-ελθὼν ἐπ-έστη, οἷα ἐξ ἀ-προσδοκήτου αὐτὸν ἰδοῦσα ἡ γυνὴ ἤρετο προτέρᾱ, ὅ τι οὕτω προθῡ́μως αὐτὸν Ἅρπαγος μετ-επέμψατο. ὃ δ' εἶπεν· "Ὦ γύναι, εἶδόν τ' ἐς πόλιν ἐλθὼν καὶ ἤκουσα, ὃ μήτε ἰδεῖν ὤφελον μήτε ποτὲ γενέσθαι ἐς δεσπότᾱς τοὺς ἡμετέρους. πᾶς μὲν γὰρ ὁ οἶκος Ἁρπάγου κλαυθμῷ κατ-είχετο, ἐγὼ δ' ἐκ-πλαγεὶς ᾖα ἔσω. ὡς δὲ τάχιστα ἐσ-ῆλθον, ὁρῶ παιδίον προ-κείμενον ἀσπαῖρόν τε καὶ κραυγανώμενον, κεκοσμημένον χρῡσῷ τε καὶ ἐσθῆτι ποικίλῃ. Ἅρπαγος δ' ὡς εἶδέ με, ἐκέλευσε τὴν ταχίστην ἀνα-λαβόντα τὸ παιδίον οἴχεσθαι φέροντα καὶ θεῖναι ἐς τὸ θηριωδέστατον τῶν ὀρῶν, φάσκων τὸν Ἀστυάγη εἶναι τὸν ταῦτά μοι ἐπι-θέμενον, πολλὰ ἀπειλήσᾱς εἰ μὴ ταῦτα ποιήσαιμι. καὶ ἐγὼ ἀνα-λαβὼν ἔφερον, δοκῶν τῶν τινὸς οἰκετῶν εἶναι· οὐ γὰρ ἄν ποτε κατ-έδοξα ἔνθεν γε ἦν. ἀπ-εθαύμαζον δ' ὁρῶν αὐτὸ

55. ὅ τι, οὐκ εἰωθώς, κτλ. *for what reason, not being accustomed* (*to do so*). § 179, II B.

57. ἐπ-έστη *he stood over* (like a vision in sleep), *he* (*suddenly*) *appeared*. οἷα . . . ἰδοῦσα. § 175 e.

61. ὃ μήτε ἰδεῖν ὤφελον μήτε γενέσθαι (*that*) *which would that I had not seen*, etc. § 153 b.

63. ἐκ-πλαγεὶς (ἐκ-πλήττω, A. P. ἐξ-επλάγην *astonish*).

65. ἀσπαῖρόν τε καὶ κραυγανώμενον *gasping and screaming*.

68. οἴχεσθαι φέροντα (*to be gone carrying*) *to carry away*.

72. δοκῶν τὸ παιδίον εἶναί τινος τῶν οἰκετῶν. οὐ . . . ποτε ἂν κατ-έδοξα ἔνθεν γε ἦν *I could never have guessed whose child it really* (γε) *was*. § 145.

χρῡσῷ τε καὶ εἵμασι κεκοσμημένον, πρὸς δὲ τούτοις καὶ κλαυθμὸν καθ-εστῶτα ἐμ-φανῆ ἐν Ἁρπάγου. εὐθὺς δὲ καθ᾽ ὁδὸν πυνθάνομαι τὸν πάντα λόγον θεράποντος, ὃς προ-πέμπων μ᾽ ἔξω τῆς πόλεως ἐν-εχείρισε τὸ παιδίον, ὅτι ἄρα Μανδάνης τ᾽ εἴη παῖς τῆς Ἀστυάγους θυγατρὸς καὶ Καμβῡ́σου τοῦ Κῡ́ρου, καὶ Ἀστυάγης κελεύει αὐτὸ ἀποκτεῖναι. καὶ νῦν δὴ ὅδε ἐστίν."

ἅμα δὲ ταῦτα ἔλεγεν ὁ βουκόλος καὶ ἐκ-καλύψᾱς ἀπ-εδείκνῡ. ἡ δ᾽ ὡς εἶδε τὸ παιδίον μέγα τε καὶ εὐειδὲς ὄν, δακρῡ́σᾱσα καὶ λαβομένη τῶν γονάτων τοῦ ἀνδρὸς ἐδεῖτο μηδεμιᾷ τέχνῃ ἐκ-θεῖναι αὐτό. ὁ δ᾽ οὐκ ἔφη οἷός τ᾽ εἶναι ἄλλως ταῦτα ποιεῖν· ἐπι-φοιτήσειν γὰρ κατα-σκόπους ἐξ Ἁρπάγου ἐπ-οψομένους, ἀπ-ολεῖσθαι δ᾽ αὐτὸς κάκιστα, ἐὰν μὴ ταῦτα ποιήσῃ. ὡς δ᾽ οὐκ ἔπειθεν ἄρα τὸν ἄνδρα, δεύτερα λέγει ἡ γυνὴ τάδε· "Ἐπεὶ τοίνυν οὐ δύναμαί σε πείθειν μὴ ἐκ-θεῖναι, ὧδε σὺ ποίησον, εἰ δὴ πᾶσα ἀνάγκη ὀφθῆναι ἐκ-κείμενον. τέτοκα γὰρ καὶ ἐγώ, τέτοκα δὲ τεθνεός. τοῦτο μὲν φέρων πρό-θες, τὸν δὲ τῆς Ἀστυάγους θυγατρὸς παῖδα ὡς ἐξ ἡμῶν ὄντα τρέφωμεν. καὶ οὕτως οὔτε σὺ ἁλώσῃ ἀδικῶν

74. εἵμασι (εἷμα) *clothing*, especially *cloak*, *wrap*.

75. καθ-εστῶτα ἐμφανῆ (*existing openly*) *prevailing unrepressed.*

84. λαβομένη *clasping.* § 115 c.

86. ἐπι-φοιτήσειν (ἔφη) *he said there would come.*

87. ἐπ-οψομένους *to see* (*it*). Fut. Part. of *Purpose*, § 175.

88. ἀπ-ολεῖσθαι (ἀπ-όλλυμαι).

92. τέτοκα (τίκτω).

93. τεθνεός *a still-born child.*

95. ἁλώσῃ *you will be caught* (ἁλίσκομαι)

τοὺς δεσπότᾱς, οὔτε ἡμῖν κακῶς βεβουλευμένα ἔσται. ὅ τε γὰρ τεθνεὼς βασιλείᾱς ταφῆς τεύξεται, καὶ ὁ περι-ὼν οὐκ ἀπ-ολεῖ τὴν ψῡχήν."

εὖ μάλα τ' ἔδοξε τῷ βουκόλῳ πρὸς τὰ παρόντα λέγειν ἡ γυνή, καὶ αὐτίκα ἐποίει ταῦτα. ὃν μὲν ἔφερε θανατώσων παῖδα, τοῦτον μὲν παρα-δίδωσι τῇ ἑαυτοῦ γυναικί, τὸν δὲ ἑαυτοῦ ὄντα νεκρὸν λαβὼν ἔθηκε ἐς τὸ ἄγγος ἐν ᾧ ἔφερε τὸν ἕτερον. κοσμήσᾱς δὴ τῷ κόσμῳ παντὶ τοῦ ἑτέρου παιδὸς φέρων ἐς τὸ ἐρημότατον τῶν ὀρῶν τίθησι. ὡς δὲ τρίτη ἡμέρᾱ τῷ παιδίῳ ἐκ-κειμένῳ ἐγένετο, ᾔει ἐς πόλιν ὁ βουκόλος, τῶν τινὰ προβοσκῶν φύλακα αὐτοῦ κατα-λιπών, ἐλθὼν δὲ ἐς τοῦ Ἁρπάγου ἀπο-δεικνύναι ἔφη ἕτοιμος εἶναι τοῦ παιδίου τὸν νεκρόν. πέμψᾱς δ' ὁ Ἅρπαγος τῶν ἑαυτοῦ δορυφόρων τοὺς πιστοτάτους εἶδέ τε διὰ τούτων καὶ ἔθαψε τοῦ βουκόλου τὸ παιδίον. καὶ τὸ μὲν ἐτέθαπτο, τὸν δὲ ὕστερον τούτων Κῦρον ὀνομασθέντα παρα-λαβοῦσα ἔτρεφεν ἡ γυνὴ τοῦ βουκόλου, ὄνομα ἄλλο πού τι καὶ οὐ Κῦρον θεμένη.

ἐπειδὴ δ' ἦν δεκαετὴς ὁ παῖς, πρᾶγμα ἐς αὐτὸν τοιόνδε γενόμενον ἐξ-έφηνεν αὐτόν. ἔπαιζεν ἐν τῇ κώμῃ ταύτῃ ἐν ᾗ ἦσαν καὶ αἱ βουκολίαι αὗται, ἔπαιζε δὲ μετ' ἄλλων ἡλίκων ἐν ὁδῷ. καὶ οἱ παῖ-

97. *τεύξεται* (*τυγχάνω*). § 115 e.

99. *πρὸς τὰ παρόντα in view of the present* (i.e. *existing*) *circumstances.*

101. *θανατώσων for the purpose of putting to death.* Future participle.

112. *καὶ τὸ μὲν ἐτέθαπτο and* (*now*) *the one* (*child*) *lay buried* (*had been buried*). § 138.

115. *θεμένη bestowing* (*upon*), *giving.* Aor. mid. of *τίθημι*.

δες παίζοντες εἵλοντο ἑαυτῶν βασιλέᾱ εἶναι τοῦτον δὴ τὸν τοῦ βουκόλου ἐπίκλησιν παῖδα.

ὁ δὲ αὐτῶν δι-έταξε τοὺς μὲν οἰκίᾱς οἰκοδομεῖν, τοὺς δὲ δορυφόρους εἶναι, τὸν δέ πού τινα αὐτῶν ὀφθαλμὸν βασιλέως εἶναι, τῷ δέ τινι τὰς ἀγγελίᾱς φέρειν ἐδίδου γέρας, ὡς ἑκάστῳ ἔργον προσ-τάττων. εἷς δὲ τούτων τῶν παίδων συμ-παίζων, ὢν Ἀρτεμβάρους παῖς ἀνδρὸς δοκίμου ἐν Μήδοις (οὐ γὰρ δὴ ἐποίησε τὸ προσ-ταχθὲν ἐκ τοῦ Κῡ́ρου) ἐκέλευε αὐτὸν τοὺς ἄλλους παῖδας δια-λαβεῖν, πειθομένων δὲ τῶν παίδων ὁ Κῦρος τὸν παῖδα μάλα γε τρᾱχέως περι-εῖπε μαστῑγῶν. ὁ δὲ ἐπειδὴ ἀφ-είθη τάχιστα, ὥς γε δὴ ἀνάξια ἑαυτοῦ παθών, κατ-ελθὼν ἐς πόλιν πρὸς τὸν πατέρα ἀπ-ῳκτίζετο ὧν ὑπὸ Κῡ́ρου ἔτυχε, λέγων δὲ οὐ Κῡ́ρου (οὐ γάρ τί πω ἦν τοῦτο τὸ ὄνομα) ἀλλὰ πρὸς τοῦ βουκόλου τοῦ Ἀστυάγους παιδός. ὁ δὲ Ἀρτεμβάρης ὀργῇ ὡς εἶχεν ἐλθὼν παρὰ τὸν Ἀστυάγη καὶ ἅμα ἀγόμενος τὸν παῖδα ἀνάξια πράγματα ἔφη πεπονθέναι, λέγων, "Ὦ βασιλεῦ, ὑπὸ τοῦ σοῦ δούλου, βουκόλου δὲ παιδὸς ὧδε

121. *ἐπίκλησιν in name only.* Adverb. use of acc. *ἐπίκλησις an added name, surname.*

124. *ὀφθαλμὸν βασιλέως.* The *King's Eye* was in Persia the name of a confidential adviser to the king. *τῷ δὲ . . . ἐδίδου γέρας and to another he assigned the office. γέρας (τὸ) a gift of honor.*

125. *ὡς ἑκάστῳ* merely *to each one (ἑκάστῳ).*

128. *ἐκέλευε.* The subject is *ὁ Κῦρος.*

130. *τρᾱχέως περι-εῖπε μαστῑγῶν he handled him roughly, whipping him.*

131. *ἐπειδὴ ἀφ-είθη τάχιστα as soon as he was released.* § 98.

136. *ὀργῇ ὡς εἶχεν in anger just as he was*, i.e. *without delay, at once, without ceremony*, etc.

περι-ῡβρίσμεθα," δεικνὺς τοῦ παιδὸς τοὺς ὤμους. ἀκούσᾱς δὲ καὶ ἰδὼν Ἀστυάγης, ἐθέλων τῑμωρῆσαι τῷ παιδὶ τῑμῆς τῆς Ἀρτεμβάρους ἕνεκα, μετ-επέμπετο τόν τε βουκόλον καὶ τὸν παῖδα. ἐπειδὴ δὲ παρ-ῆσαν ἀμφότεροι, βλέψᾱς πρὸς τὸν Κῦρον ὁ Ἀστυάγης "Σὺ δή," ἔφη, "ὢν τοῦδε τοιούτου ὄντος παῖς ἐτόλμησας τὸν τοῦδε παῖδα πρώτου ὄντος παρ' ἐμοὶ αἰκίᾳ τοιᾷδε περι-έπειν;" ὃ δ' ἀπ-εκρῑ́νετο ὧδε· "Ὦ δέσποτα," ἔφη, "ἐγὼ ταῦτα τοῦτον ἐποίησα σὺν δίκῃ. οἱ μὲν γὰρ ἐκ τῆς κώμης παῖδες, ὧν καὶ ὅδε ἦν, παίζοντες σφῶν αὐτῶν ἐστήσαντό με βασιλέᾱ. ἐδόκουν γὰρ αὐτοῖς εἶναι ἐς τοῦτο ἐπιτηδειότατος. οἱ μὲν νῦν ἄλλοι παῖδες τὰ ἐπιταττόμενα ἐπ-ετέλουν, οὗτος δὲ ἠνηκούστει τε καὶ λόγον εἶχεν οὐδένα ἐς ὃ ἔλαβε τὴν δίκην. εἰ οὖν δὴ τοῦδε ἕνεκα ἄξιός του κακοῦ εἰμί, ὅδε σοι πάρ-ειμι."

ταῦτα λέγοντος τοῦ παιδὸς τὸν Ἀστυάγη ἐσ-ῄει ἀνάγνωσις αὐτοῦ, καὶ αὐτῷ ὅ τε χαρακτὴρ τοῦ προσώπου προσ-φέρεσθαι ἐδόκει ἐς ἑαυτόν, καὶ ἡ ἀπόκρισις ἐλευθερωτέρᾱ εἶναι, καὶ ὁ χρόνος τῆς ἐκθέσεως τῇ ἡλικίᾳ τοῦ παιδὸς ἐδόκει συμ-βαίνειν.

142. *wishing to avenge the boy for the sake of the honor of Artembares.*

150. σφῶν αὐτῶν *of themselves.*

153. ἠνηκούστει. ἀνηκουστέω *refuse to obey, disobey.*

154. ἐς ὃ *until.*

157. τὸν Ἀστυάγη ἐσ-ῄει ἀνάγνωσις (*there*) *came to Astyages recognition*, etc.

159. προσ-φέρεσθαι ἐς ἑαυτόν *to correspond to himself, to be like his own.*

160. ἐλευθερωτέρᾱ *too independent* (i.e. *for a slave's child to utter*).

160. ὁ χρόνος τῆς ἐκθέσεως *the lapse of time since the exposure.*

ἐκ-πλαγεὶς δὲ τούτοις ἐπὶ χρόνον ἄφθογγος ἦν. μόγις δὲ δή ποτε ἀν-ενεχθεὶς εἶπεν, ἐθέλων ἐκ-πέμψαι τὸν Ἀρτεμβάρη, ἵνα τὸν βουκόλον μόνον λαβὼν βασανίσῃ, "Ἀρτέμβαρες," ἔφη, "ἐγὼ ταῦτα ποιήσω ὥστε σὲ καὶ τὸν παῖδα τὸν σὸν μηδὲν ἐπι-μέμφεσθαι." τὸν μὲν δὴ Ἀρτεμβάρη πέμπει, τὸν δὲ Κῦρον ἦγον ἔσω οἱ θεράποντες κελεύσαντος τοῦ Ἀστυάγους. ἐπεὶ δὲ ὑπ-ελέλειπτο ὁ βουκόλος μόνος, τάδε ἤρετο αὐτὸν ὁ Ἀστυάγης, πόθεν λάβοι τὸν παῖδα καὶ τίς εἴη ὁ παρα-δούς. ὃ δὲ ἐξ ἑαυτοῦ τε ἔφη γεγονέναι καὶ τὴν τεκοῦσαν αὐτὸν εἶναι ἔτι παρ' ἑαυτῷ. Ἀστυάγης δ' αὐτὸν οὐκ εὖ βουλεύεσθαι ἔφη ἐπι-θῡμοῦντα ἐς ἀνάγκᾱς μεγάλᾱς ἀφ-ικνεῖσθαι, ἅμα τε λέγων ταῦτα ἐσήμαινε τοῖς δορυφόροις λαμβάνειν αὐτόν. ὃ δὲ ἀγόμενος ἐς τὰς ἀνάγκᾱς οὕτω δὴ ἔφαινε τὸν ὄντα λόγον. ἀρχόμενος δὲ ἀπ' ἀρχῆς δι-εξ-ῄει τῇ ἀληθείᾳ χρώμενος, καὶ κατ-έβαινεν ἐς λιτᾱ́ς τε καὶ συγγνώμην ἑαυτῷ κελεύων ἔχειν αὐτόν.

Ἀστυάγης δὲ τοῦ μὲν βουκόλου τὴν ἀλήθειαν ἐκ-φήναντος λόγον ἤδη καὶ ἐλάττω ἐποιεῖτο, Ἁρπάγῳ δὲ καὶ μεγάλως μεμφόμενος καλεῖν αὐτὸν τοὺς δορυφόρους ἐκέλευεν. ἐπεὶ δὲ παρ-ῆν αὐτῷ ὁ Ἅρπαγος, ἤρετο αὐτὸν Ἀστυάγης· "Ἅρπαγε, τίνι δὴ μόρῳ τὸν παῖδα κατ-εχρήσω ὅν σοι παρ-

162. ἐκ-πλαγείς (ἐκ-πλήττω) *amazed, dumfounded.*

163. ἀν-ενεχθείς *recovering himself.*

174. ἀνάγκᾱς (*necessities*) *tortures.*

182. ἐκ-φήναντος. ἐκ-φαίνω. Aorist participle.

186. κατ-εχρήσω. κατα-χράομαι *use to the uttermost, make away with, kill.*

ἔδωκα ἐκ θυγατρὸς γεγονότα τῆς ἐμῆς;" ὁ δ' Ἅρπαγος ὡς εἶδε τὸν βουκόλον ἔνδον ὄντα, οὐ τρέπεται ἐπὶ ψευδῆ ὁδόν, ἵνα μὴ ἐλεγχόμενος ἁλίσκηται, ἀλλὰ λέγει τάδε· "Ὦ βασιλεῦ, ἐπειδὴ παρ-έλαβον τὸ παιδίον, ἐβούλευον σκοπῶν ὅπως σοί τε ποιήσω κατὰ νοῦν καὶ ἐγὼ πρός σε γιγνόμενος ἀναμάρτητος μήτε θυγατρὶ τῇ σῇ μήτε αὐτῷ σοὶ εἴην αὐθέντης. ποιῶ δὴ ὧδε. καλέσᾱς τὸν βουκόλον τόνδε παρα-δίδωμι τὸ παιδίον, φάσκων σὲ εἶναι τὸν κελεύοντα ἀπο-κτεῖναι αὐτό. καὶ λέγων τοῦτό γ' οὐκ ἐψευδόμην, σὺ γὰρ ἐν-ετέλλου οὕτω. παρα-δίδωμι μέντοι τῷδε κατὰ τάδε ἐν-τειλάμενος, θεῖναι αὐτὸν ἐς ἔρημον ὄρος καὶ παρα-μένοντα φυλάττειν ἕως ἂν τελευτήσῃ, ἀπειλήσᾱς παντοῖα τῷδε ἢν μὴ τάδε ἐπιτελῆ ποιήσῃ. ἐπειδὴ δὲ ποιήσαντος τούτου τὰ κελευόμενα ἐτελεύτησε τὸ παιδίον, πέμψᾱς τῶν εὐνούχων τοὺς πιστοτάτους καὶ εἶδον δι' ἐκείνων καὶ ἔθαψα αὐτόν. οὕτως εἶχεν, ὦ βασιλεῦ, περὶ τοῦ πρᾱ́γματος τούτου, καὶ τοιούτῳ θανάτῳ ἐχρήσατο ὁ παῖς."

Ἅρπαγος μὲν δὴ τὸν ἀληθῆ ἔφαινε λόγον, Ἀστυάγης δὲ κρύπτων ὃν αὐτῷ ἐν-εῖχε χόλον διὰ τὸ γεγονός, πρῶτον μέν, καθάπερ ἤκουσεν αὐτὸς παρὰ

189. ἵνα μὴ ἐλεγχόμενος ἁλίσκηται *be convicted on cross-examination.* ἐλέγχω *put to the test, cross-examine.*

191 ff. ὅπως . . . ποιήσω (aor. subj.) . . . καὶ . . . εἴην (= ὦ). §§ 156, 179, II B.

198. κατὰ τάδε ἐν-τειλάμενος *having given commands to this* (i.e. *the following*) *effect.*

208. ὃν αὐτῷ ἐν-εῖχε χόλον *the anger which he felt toward him.*

τοῦ βουκόλου τὸ πρᾶγμα, πάλιν δι-ηγεῖτο τῷ Ἁρπάγῳ, μετὰ δέ, ὡς ἐπαλιλλόγητο αὐτῷ, κατ-έβαινε λέγων ὅτι περί-εστί τε ὁ παῖς καὶ τὸ γεγονὸς ἔχει καλῶς· "Τῷ τε γὰρ πεποιημένῳ," ἔφη λέγων, "ἐς τὸν παῖδα τοῦτον ἔκαμνον μεγάλως, καὶ θυγατρὶ τῇ ἐμῇ δι-α-βεβλημένος οὐκ ἐν ἐλαφρῷ ἐποιούμην. ὡς οὖν τῆς τύχης εὖ μεθ-εστώσης, τοῦτο μὲν τὸν σεαυτοῦ παῖδα ἀπό-πεμψον παρὰ τὸν παῖδα τὸν νεήλυδα, τοῦτο δέ, σῶστρα γὰρ τοῦ παιδὸς μέλλω θύειν οἷς θεῶν ἡ τῑμὴ αὕτη πρόσ-κειται, πάρ-ισθί μοι ἐπὶ δεῖπνον."

Ἅρπαγος μὲν ὡς ἤκουσε ταῦτα, προσ-κυνήσᾱς καὶ μεγάλα ποιήσᾱς ὅτι ἐπὶ δεῖπνον ἐκέκλητο, ᾔει ἐς τὰ οἰκία. ἐσ-ελθὼν δὲ τὴν ταχίστην (ἦν γὰρ αὐτῷ παῖς εἷς μόνος, ἔτη τρία καὶ δέκα που μάλιστα γεγονώς), τοῦτον ἐκ-πέμπει ἰέναι τε κελεύων ἐς Ἀστυάγους καὶ ποιεῖν ὅ τι ἂν ἐκεῖνος κελεύῃ. αὐτὸς δὲ περιχαρὴς ὢν φράζει τῇ γυναικὶ τὰ συν-τυχόντα.

Ἀστυάγης δέ, ὡς αὐτῷ ἀφ-ίκετο ὁ Ἁρπάγου παῖς, σφάξᾱς αὐτὸν καὶ κατὰ μέλη δι-ελών, τὰ μὲν ὤπτησε, τὰ δὲ ἥψησε τῶν κρεῶν, εὔτυκτα δὲ ποιησάμενος εἶχεν ἕτοιμα. ἐπειδὴ δὲ τῆς ὥρᾱς γιγνομένης τοῦ δείπνου παρ-ῆσαν οἵ τ' ἄλλοι δαιτυμόνες

211. ἐπαλιλλόγητο *it had been repeated* (παλιλλογέω). § 120 b.
215. οὐκ ἐν ἐλαφρῷ ἐποιούμην *I did not bear it lightly.*
216. τοῦτο μέν . . . τοῦτο δέ = μέν . . . δέ.
222. ἐκέκλητο (καλέω).
224. ἔτη τρία καὶ δέκα που μάλιστα γεγονώς *about thirteen years of age.*
227. τὰ συν-τυχόντα *the things that had happened.*

καὶ ὁ Ἅρπαγος, τοῖς μὲν ἄλλοις καὶ αὐτῷ Ἀστυάγει παρ-ετίθεντο τράπεζαι μεσταὶ μηλείων κρεῶν, Ἁρπάγῳ δὲ τοῦ παιδὸς τοῦ ἑαυτοῦ, πλὴν κεφαλῆς τε καὶ ἄκρων χειρῶν τε καὶ ποδῶν, τὰ ἄλλα πάντα. ταῦτα δὲ χωρὶς ἔκειτο ἐπὶ κανῷ κατα-κεκαλυμμένα.

ἐπεὶ δὲ τῷ Ἁρπάγῳ ἐδόκει ἅλις ἔχειν τῆς βορᾶς, Ἀστυάγης ἤρετο αὐτὸν εἰ ἡσθείη τι τῷ δείπνῳ. ἀπο-κρῑνομένου δὲ Ἁρπάγου ὅτι καὶ μάλα ἥσθη, παρ-έφερον οἷς προσ-έκειτο τὴν κεφαλὴν τοῦ παιδὸς κατα-κεκαλυμμένην καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, Ἅρπαγον δὲ ἐκέλευον προσ-στάντες ἀπο-καλύπτειν τε καὶ λαβεῖν ὃ βούλεται αὐτῶν. πειθόμενος δὲ ὁ Ἅρπαγος καὶ ἀπο-καλύπτων ὁρᾷ τοῦ παιδὸς τὰ λείμματα, ἰδὼν δὲ οὔτε ἐξ-επλάγη ἐντός τε αὑτοῦ γίγνεται. ἤρετο δὲ αὐτὸν Ἀστυάγης εἰ γιγνώσκοι ὅτου θηρίου κρέα βεβρώκοι. ὁ δὲ καὶ γιγνώσκειν ἔφη καὶ ἀρεστὸν εἶναι πᾶν, ὃ ἂν ὁ βασιλεὺς ποιῇ. ταῦτα δ᾽ ἀπο-κρῑνάμενος καὶ ἀνα-λαβὼν τὰ λοιπὰ τῶν κρεῶν οἴκαδ᾽ ἀπ-ῄει. ἐντεῦθεν δ᾽ ἔμελλεν, ὡς ἐγὼ δοκῶ, συλ-λέξᾱς θάψειν τὰ πάντα.

235. *τράπεζαι.* Each guest had a separate table, which was placed beside him.

237. *ἄκρων χειρῶν the hands.* In the famous feast of Thyestes, when he was made to eat the flesh of his own children, which was set before him by his kinsman Atreus, the same parts of the body, the head, hands, and feet, were kept apart in a basket. See the *Agamemnon* of Aeschylus, 1587 ff. The reason for this is disclosed in the concluding paragraph of the story.

240. *εἰ ἡσθείη τι τῷ δείπνῳ if he had enjoyed the dinner. τι at all.*

II–III

After so ferociously wreaking vengeance upon the nobleman Harpagus, Astyages sent the boy Cyrus to his parents in Persia, who received him with great rejoicing, forasmuch as they had supposed him dead. In course of time the lad grew to manhood, and conspired with Harpagus and others to overthrow his grandfather. The revolt was successful; Astyages was deposed; and Cyrus became king of the Medes and Persians, with Persia in the ascendency. By vastly enlarging the boundaries of his empire, Cyrus gained for himself the title of "The Great." His rule extended from 558–529 B.C.

About the time that Cyrus usurped the throne of Persia, Croesus, son of Alyat'tes, succeeded to the rule of Lydia (c. 560 B.C.), with his capital at Sardis. He extended his kingdom as far east as the Halys river, which was the westernmost boundary of the empire of Astyages, and attacked and subjugated the Aeolian, Ionian, and Dorian Greek cities of Asia Minor, except Miletus; and from the tribute levied upon his subjects and from the gold mines of Asia Minor he became fabulously rich.

Upon the fall of Astyages in 550, Croesus determined to attack Cyrus and the Persians, and for this purpose conducted an expedition across the Halys river, urged forward by the response of the oracle at Delphi: Κροῖσος, Ἅλυν δια-βάς, μεγάλην ἀρχὴν δια-λύσει *Croesus, if he cross the Halys, will destroy a great empire.* Croesus believed that "the great empire" would be that of Cyrus, but as events proved he was himself defeated and forced back into Sardis and there taken captive by Cyrus (c. 546 B.C.).

"The capture of Sardis was an eventuality of which no one had seriously thought. So great had been the wealth and might of Croesus, so dizzy the height of his power, that none deemed his overthrow possible; and the sheer and sudden fall into nothingness made perhaps a deeper and more abiding impression on the imagination of Hellas than any other historical event. It was the most illustrious example that the Greeks had ever witnessed of their favorite doctrine that the gods visit with jealousy men who enjoy too great prosperity. And the personality of Croesus himself crept into their sympathies — the admirer of Hellenic art and wisdom, the adorer of Hellenic gods, the generous giver out of his abundant wealth. Never more than for the memory of Croesus did Greece put forth the power of that genius, which she possessed in such full measure, of weaving round an event of history tales which have a deep and touching import as lessons for the life of man."[1]

[1] J. B. Bury, *History of Greece*, I, p. 238.

Some of these tales are told in selections II and III, and revolve about the visit of the Athenian lawgiver, Solon, to the court of the Lydian monarch. In view of the fact, however, that Solon's archonship fell between 594 and 590 B.C., while Croesus did not ascend the throne until about 560 B.C., the story of the visit of Solon to Croesus is perhaps apocryphal, although Solon appears not to have died until after Croesus' accession. But whatever the element of truth in these tales, they admirably illustrate the style of Herodotus and his belief in divine nemesis.

II

ΠΑΝ ΕΣΤΙΝ ΑΝΘΡΩΠΟΣ ΣΥΜΦΟΡΑ

Ἀλυάττης μὲν ὁ Λῡδὸς . . . τελευτᾷ, βασιλεύσᾱς ἔτη ἑπτὰ καὶ πεντήκοντα. . . . τελευτήσαντος δὲ Ἀλυάττου, ἐξ-εδέξατο τὴν βασιλείᾱν Κροῖσος ὁ Ἀλυάττου, ἐτῶν ὢν ἡλικίᾱν πέντε καὶ τριᾱ́κοντα, καὶ τύραννος ἐγένετο πάντων τῶν ἐθνῶν τῶν ἐντὸς Ἅλυος ποταμοῦ, ὃς ῥέων ἀπὸ μεσημβρίᾱς μεταξὺ τῶν Συρίων τε καὶ τῶν Παφλαγόνων ἐκ-βάλλει πρὸς βορέᾱν ἄνεμον ἐς τὸν Εὔξεινον καλούμενον πόντον.

οὗτος ὁ Κροῖσος πρῶτος τῶν βαρβάρων ὧν ἴσμεν τοὺς μὲν Ἑλλήνων κατ-εστρέψατο ἐς φόρου ἀπ-αγωγήν, τοὺς δὲ φίλους προσ-εποιήσατο. κατ-εστρέψατο μὲν Ἴωνάς τε καὶ Αἰολέᾱς καὶ Δωριέᾱς τοὺς ἐν τῇ Ἀσίᾳ, φίλους δὲ προσ-εποιήσατο Λακεδαιμονίους. πρὸ δὲ τῆς Κροίσου ἀρχῆς πάντες Ἕλληνες ἦσαν ἐλεύθεροι.

χρόνου δ' ἐπι-γιγνομένου καὶ κατ-εστραμμένων

1. Alyattes was king of Lydia (c. 617–560 B.C.).
4. *ἐτῶν ὢν ἡλικίᾱν, κτλ. being 35 years of age.* §§ 113 d, 114.
9. *βαρβάρων ὧν ἴσμεν* for *βαρβάρων οὓς ἴσμεν.* § 102.
10. *ἐς φόρου ἀπ-αγωγήν to the payment of tribute.*
13. *Λακεδαιμονίους, τοῦτ' ἔστι, τοὺς ἐν τῇ Ἑλλάδι Δωριέᾱς.*

σχεδὸν πάντων τῶν ἐθνῶν τῶν ἐντὸς Ἅλυος ποταμοῦ (πλὴν γὰρ τῶν Κιλίκων καὶ Λυκίων, τοὺς ἄλλους πάντας ὑφ᾽ ἑαυτοῦ εἶχε κατα-στρεψάμενος ὁ Κροῖσος), κατ-εστραμμένων δὲ τούτων ἀφ-ικνοῦνται ἐς Σάρδεις, ἀκμαζούσᾱς πλούτῳ, ἄλλοι τε οἱ πάντες ἐκ τῆς Ἑλλάδος σοφισταί, οἳ τοῦτον τὸν χρόνον ἐτύγχανον ὄντες, καὶ δὴ καὶ Σόλων ἀνὴρ Ἀθηναῖος. ἀφ-ικόμενος δ᾽ ἐξενίζετο ἐν τοῖς βασιλείοις ὑπὸ τοῦ Κροίσου.

μετὰ δὲ ἡμέρᾳ τρίτῃ ἢ τετάρτῃ, κελεύσαντος τοῦ Κροίσου, τὸν Σόλωνα θεράποντες περι-ῆγον κατὰ τοὺς θησαυροὺς καὶ ἐπ-εδείκνυσαν πάντα μεγάλα τ᾽ ὄντα καὶ ὄλβια. ἐπειδὴ δ᾽ ἐθεάσατο καὶ ἐσκέψατο τὰ πάντα ὁ Σόλων, ὡς αὐτῷ κατὰ καιρὸν ἦν, ἤρετο ὁ Κροῖσος τάδε· "Ὦ ξένε Ἀθηναῖε, παρ᾽ ἡμᾶς γὰρ περὶ σοῦ λόγος ἀφ-ῖκται πολὺς καὶ σοφίᾱς πέρι τῆς σῆς καὶ πλάνης, ὡς φιλοσοφῶν γῆν πολλὴν θεωρίᾱς ἕνεκεν ἐπ-ελήλυθας. νῦν οὖν ἐπ-ερωτᾶν σε ἵμερος ἐπ-ῆλθέ με εἴ τινα ἤδη πάντων εἶδες ὀλβιώτατον."

ὁ μὲν ἐλπίζων αὐτὸς εἶναι τῶν ἀνθρώπων ὀλβιώτατος ταῦτ᾽ ἐπ-ηρώτᾱ. Σόλων δ᾽ οὐδὲν θωπεύσᾱς,

19. *εἶχε κατα-στρεψάμενος he had made subject (he held having subdued).*

26. *μετὰ δὲ ἡμέρᾳ τρίτῃ afterward on the third day.* § 122 a.

30. *ὡς αὐτῷ κατὰ καιρὸν ἦν as he had opportunity.*

32. *λόγος . . . πολύς frequent report.*

33. *ὡς φιλοσοφῶν how through love of knowledge.*

35. *ἵμερος ἐπ-ῆλθέ με a desire has come upon me.*

37. *ἐλπίζων expecting, thinking.*

38. *οὐδὲν θωπεύσᾱς not resorting to flattery.*

ἀλλὰ τῇ ἀληθείᾳ χρησάμενος λέγει· "Ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον." ἀπο-θαυμάσᾱς δὲ Κροῖσος τὸ λεχθὲν ἤρετο ἐπι-στρεφῶς· "Διὰ τί δὴ κρίνεις Τέλλον εἶναι ὀλβιώτατον;" ὁ δ' εἶπε· "Τέλλῳ τοῦτο μέν, τῆς πόλεως εὖ ἐχούσης, παῖδες ἦσαν καλοί τε κἀγαθοί, καὶ εἶδεν αὐτοῖς ἅπᾱσι τέκνα ἐκ-γενόμενα καὶ πάντα παρα-μείναντα, τοῦτο δὲ τοῦ βίου εὖ ἔχοντι, ὡς τὰ παρ' ἡμῖν, τελευτὴ τοῦ βίου λαμπροτάτη ἐπ-εγένετο. γενομένης γὰρ τοῖς Ἀθηναίοις μάχης πρὸς τοὺς ἀστυ-γείτονας ἐν Ἐλευσῖνι, βοηθήσᾱς καὶ τροπὴν ποιήσᾱς τῶν πολεμίων ἀπ-έθανε κάλλιστα. καὶ αὐτὸν δημοσίᾳ τ' ἔθαψαν οἱ Ἀθηναῖοι αὐτόθι ᾗπερ ἔπεσε καὶ ἐτίμησαν μεγάλως."

ὡς δὲ τὰ κατὰ τὸν Τέλλον εἶπεν ὁ Σόλων πολλά τε καὶ ὄλβια, ἐπ-ήρετο αὐτὸν ὁ Κροῖσος τίνα δεύτερον μετ' ἐκεῖνον ἴδοι, δοκῶν πάνυ τὰ δευτερεῖα γοῦν οἴσεσθαι. ὁ δ' εἶπε· "Κλέοβίν τε καὶ Βίτωνα. τούτοις γὰρ οὖσι γένος Ἀργείοις βίος τ' ἀρκῶν

40. τὸ λεχθέν *the reply* (λέγω).

41. ἐπι-στρεφῶς *severely, earnestly* (lit., *turning upon*).

43. τοῦτο μέν . . . τοῦτο δέ (45) very frequent in Herodotus for μέν . . . δέ. τῆς πόλεως εὖ ἔχουσης *his city being prosperous.*

44. εἶδεν . . . τέκνα ἐκ-γενόμενα *he saw children born.*

45. τοῦ βίου εὖ ἔχοντι (αὐτῷ) (*to him being well off* (*in the means*) *of life*) *to him in the midst of prosperity.*

48. ἐν Ἐλευσῖνι *at Eleusis*, a few miles northwest of Athens.

51. αὐτόθι ᾗπερ *on the very spot where.*

52. τὰ κατὰ τὸν Τέλλον πολλά, κτλ. *the many blessings* (*the great prosperity*) *of Tellus.*

54. ἴδοι, § 179, II B. δοκῶν, κτλ. *supposing that he would at any rate* (γοῦν) *certainly* (πάνυ) *receive second place* (*carry away the second prize*).

56. βίος ἀρκῶν ὑπ-ῆν *livelihood sufficient* (*for their needs*) *was* (*theirs*)

ὑπ-ῆν καὶ πρὸς τούτῳ ῥώμη σώματος τοιάδε· ἀθλοφόροι τ' ἀμφότεροι ὁμοίως ἦσαν, καὶ δὴ καὶ λέγεται ὅδε ὁ λόγος. ἑορτῆς οὔσης τῇ Ἥρᾳ τοῖς Ἀργείοις, ἔδει πάντως τὴν μητέρα αὐτῶν, ἱέρειαν οὖσαν, ζεύγει κομισθῆναι ἐς τὸ ἱερόν. οἱ δὲ βόες ἐκ τοῦ ἀγροῦ οὐ παρ-εγίγνοντο αὐτοῖς ἐν ὥρᾳ. ἐκ-κλῃόμενοι δὲ τῇ ὥρᾳ οἱ νεᾱνίαι ὑπο-δύντες αὐτοὶ τὴν ζεύγλην εἷλκον τὴν ἅμαξαν, ἐπὶ δὲ τῆς ἁμάξης ὠχεῖτο ὑπ' αὐτῶν ἡ μήτηρ. σταδίους δὲ πέντε καὶ τετταράκοντα δια-κομίσαντες ἀφ-ίκοντο ἐς τὸ ἱερόν.

“ταῦτα δ' αὐτοῖς ποιήσᾱσι καὶ ὀφθεῖσι ὑπὸ τῆς πανηγύρεως τελευτὴ τοῦ βίου ἀρίστη ἐπ-εγένετο, δι-έδειξέ τ' ἐν τούτοις ὁ θεὸς ὡς ἄμεινον εἴη ἀνθρώπῳ τεθνάναι ἢ ζῆν. οἱ μὲν γὰρ Ἀργεῖοι περι-στάντες ἐμακάριζον τὴν τῶν νεᾱνιῶν ῥώμην, αἱ δ' Ἀργεῖαι τὴν μητέρα αὐτῶν, οἵων τέκνων ἔτυχεν. ἡ δὲ μήτηρ περι-χαρὴς οὖσα τῷ τ' ἔργῳ καὶ τῇ φήμῃ, στᾶσα ἐναντίον τοῦ ἀγάλματος ηὔχετο Κλεόβει τε καὶ Βίτωνι, τοῖς ἑαυτῆς τέκνοις, οἳ αὐτὴν ἐτίμησαν

61. *ζεύγει κομισθῆναι to be conveyed by team, be taken by carriage.*

62. *ἐν ὥρᾳ in season. ἐκ-κλῃόμενοι τῇ ὥρᾳ being prevented (excluded) by the (lack of) time.*

63. *ὑπο-δύντες.* § 86.

67. *ὀφθεῖσι* (*ὁράω*).

69. *ὁ θεός*, but in l. 76 *ἡ θεός* (*i.e.* Ἥρᾱ). The masculine is used here of the divine power of the deity, regardless of the sex of the god in question.

70. *τεθνάναι to be dead* (*ἀπο-θνήσκω*).

72. *οἵων τέκνων ἔτυχεν what children she had obtained*, i.e. *that she had been blessed with such children!*

74. *ηὔχετο τὴν θεὸν δοῦναι* Κλεόβει *she prayed the goddess to give to Kleobis*, etc.

75. *αὐτήν her*, i.e. *the goddess.*

μεγάλως, τὴν θεὸν δοῦναι ὃ ἀνθρώπῳ τυχεῖν ἄριστόν ἐστιν. μετὰ δὲ ταύτην τὴν εὐχήν, ὡς ἔθῡσάν τε καὶ εὐωχήθησαν, κατα-κοιμηθέντες ἐν αὐτῷ τῷ ἱερῷ οἱ νεᾱνίαι οὐκέτι ἀν-έστησαν, ἀλλὰ ἐν τῷ τέλει τούτῳ κατ-έσχοντο. οἱ δ' Ἀργεῖοι εἰκόνας αὐτῶν ποιησάμενοι ἀν-έθεσαν ἐς Δελφοὺς ὡς ἀνδρῶν ἀρίστων γενομένων."

Σόλων μὲν δὴ εὐδαιμονίᾱς τὰ δευτεραῖα ἔνεμε τούτοις, Κροῖσος δ' ἐς ὀργὴν πεσὼν εἶπεν· "Ὦ ξένε Ἀθηναῖε, ἡ δ' ἡμετέρᾱ εὐδαιμονίᾱ οὕτως ἀπ-έρριπται ἐς τὸ μηδὲν ὥστε οὐδὲ ἰδιωτῶν ἀνδρῶν ἀξίους ἡμᾶς ἐποίησας;" ὁ δ' εἶπεν· "Ὦ Κροῖσε, ἐπιστάμενόν με τὸ θεῖον, ὅτι φθονερόν ἐστιν, ἐρωτᾷς ἀνθρωπείων πρᾱγμάτων πέρι. ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολλὰ μέν ἐστιν ἰδεῖν, ἃ οὐδεὶς ἐθέλει, πολλὰ δὲ καὶ παθεῖν. ἐς γὰρ ἑβδομήκοντα ἔτη ὅρον τῆς ζωῆς ἀνθρώπῳ προ-τίθημι. οὗτοι ὄντες ἐνιαυτοὶ ἑβδομήκοντα παρ-έχονται ἡμέρᾱς διᾱκοσίᾱς καὶ πεντακισχῑλίᾱς καὶ δισμῡρίᾱς, ἐμ-βολίμου μηνὸς μὴ γιγνομένου. εἰ δὲ δὴ μέλλει τὸ ἕτερον τῶν ἐτῶν μηνὶ μακρότερον γίγ-

80. κατ-έσχοντο (κατ-έχειν).

The great temple and the precinct of Hera near Argos was one of the most famous centres of her worship in Greece.

83. τὰ δευτεραῖα τῆς εὐδαιμονίᾱς *the second place (in point) of good-fortune.*

85. ἀπ-έρριπται *has been cast aside* (ῥίπτω).

87. ἐρωτᾷς με ἐπιστάμενον, κτλ. *you ask me (a man) who knows the divine nature*, etc.

89. ἐν τῷ μακρῷ χρόνῳ (τῆς ζωῆς).

93 ff. Herodotus makes Solon first reckon a year as having 360 days (70 × 360 = 25,200). He then adds an intercalary month (μὴν ἐμ-βόλιμος) each second year (τὸ ἕτερον τῶν ἐτῶν) in order to make the year cor-

νεσθαι, ἵνα δὴ αἱ ὧραι συμ-βαίνωσι παρα-γιγνόμεναι ἐς τὸ δέον, μῆνες μὲν παρὰ τὰ ἑβδομήκοντα ἔτη οἱ ἐμ-βόλιμοι γίγνονται τριᾱ́κοντα πέντε, ἡμέραι δ' ἐκ τῶν μηνῶν τούτων χῑ́λιαι πεντήκοντα. τούτων δὲ τῶν πᾱσῶν ἡμερῶν τῶν ἐς τὰ ἑβδομήκοντα ἔτη, οὐσῶν πεντήκοντα καὶ διᾱκοσίων καὶ ἑξακισχῑλίων καὶ δισμῡρίων, ἡ ἑτέρᾱ αὐτῶν τῇ ἑτέρᾳ ἡμέρᾳ τὸ παράπαν οὐδὲν ὅμοιον προσ-άγει πρᾶγμα. οὕτως οὖν, ὦ Κροῖσε, πᾶν ἐστὶν ἄνθρωπος συμ-φορᾱ́.

“ἐμοὶ δὲ σὺ καὶ πλουτεῖν μέγα φαίνῃ, καὶ βασιλεὺς πολλῶν εἶναι ἀνθρώπων. ἐκεῖνο δ' ὃ ἐρωτᾷς με οὔπω σε ἐγὼ λέγω, πρὶν ἂν τελευτήσαντα καλῶς τὸν βίον πύθωμαι. πολλοῖς γὰρ δὴ ὑπο-δείξᾱς ὄλβον ὁ θεὸς προρρίζους ἀν-έτρεψεν.”

ταῦτα λέγων ὁ Σόλων οὐ τῷ Κροίσῳ ἐχαρίζετο, καὶ Κροῖσος λόγου ποιησάμενος αὐτὸν οὐδενὸς ἀπο-πέμπεται, πάνυ γε δόξᾱς ἀμαθῆ εἶναι ὃς τὰ παρόντα ἀγαθὰ μεθ-εὶς τὴν τελευτὴν παντὸς χρήματος ὁρᾶν ἐκέλευεν.

respond with the seasons (ἵνα αἱ ὧραι συμ-βαίνωσι παρα-γιγνόμεναι ἐς τὸ δέον *that the seasons may correspond, falling at the proper time*). This makes 35 extra months in 70 years, and an average of 375 days in each year. In this reckoning Herodotus is of course in error.

102. ἡ ἑτέρᾱ τῇ ἑτέρᾳ ἡμέρᾳ *the one day . . . to the other.*

102. τὸ παράπαν *altogether, wholly.*

104. πᾶν ἐστὶν ἄνθρωπος συμ-φορᾱ́ *human life is all uncertainty.*

107. πρὶν ἂν . . . πύθωμαι *until I learn that you have ended your life in prosperity.*

109. προρρίζους ἀν-έτρεψεν *he overturns them root and branch.* Gnomic aorist. § 136.

111. λόγου αὐτὸν ποιησάμενος οὐδενός *holding him (to be) of no account*

113. μεθ-εἱς *giving up, ignoring* (μεθ-ίημι, § 98).

III

ΝΕΜΕΣΙΣ ΕΚ ΘΕΟΥ

Σόλωνος δ᾽ οὕτως ἀπο-πεμφθέντος, χρόνῳ ὕστερον οὐ πολλῷ νέμεσις ἐκ θεοῦ ἔλαβε Κροῖσον μεγάλη, ὡς εἰκάσαι, ὅτι ἐνόμισεν ἑαυτὸν εἶναι ἀνθρώπων ἁπάντων ὀλβιώτατον. αὐτίκα γὰρ καθ-εύδοντι αὐτῷ ὄνειρος ἐπ-έστη, ὃς τὴν ἀλήθειαν ἔφαινεν αὐτῷ τῶν μελλόντων γενέσθαι κακῶν κατὰ τὸν παῖδα. ἦσαν δὲ τῷ Κροίσῳ παῖδες δύο, ὧν ὁ μὲν ἕτερος δι-έφθαρτο (ἦν γὰρ δὴ κωφός), ὁ δ᾽ ἕτερος τῶν ἡλίκων μακρῷ τὰ πάντα πρῶτος. ὄνομα δ᾽ αὐτῷ ἦν Ἄτυς.

τοῦτον δὴ οὖν τὸν Ἄτυν σημαίνει τῷ Κροίσῳ ὁ ὄνειρος ὡς ἀπ-ολεῖ αὐτὸν αἰχμῇ σιδηρᾷ βληθέντα. ὁ δ᾽ ἐπειδὴ ἐξ-ηγέρθη καὶ ἑαυτῷ λόγον ἔδωκε, φοβούμενος τὸν ὄνειρον ἄγεται μὲν τῷ παιδὶ γυναῖκα, στρατηγεῖν δὲ τῶν Λῡδῶν οὐκέτι αὐτὸν ἐκ-πέμπει, καίπερ τὸ πρότερον εἰωθότα τοῦτο ποιεῖν. ἀκόντια δὲ καὶ δόρατα καὶ τὰ τοιαῦτα πάντα, οἷς ἐς πόλεμον χρῶνται ἄνθρωποι, ἐκ τῶν ἀνδρώνων ἐκ-κομίσᾱς ἐς τοὺς θαλάμους συν-ένησε, μή κρεμάμενόν τι τῷ παιδὶ ἐμ-πέσῃ.

3. *ὡς εἰκάσαι as one may conjecture.* § 172, g.
7. *δι-έφθαρτο was disabled, was blighted* (*δια-φθείρω*).
11. *ἀπ-ολεῖ* (*ἀπ-όλλῡμι*). *βληθέντα* (*βάλλω*).
12. *ἐξ-ηγέρθη* (*ἐξ-εγείρω*).
13. *ἄγεται γυναῖκα he got* (i.e. *brought home*) *a wife.*
15. *καίπερ . . . εἰωθότα although he* (i.e. *Atys*) *was accustomed*, etc.
18. *μὴ κρεμάμενόν τι lest something hanging* (*on the walls*), etc.

ἔχοντος δ' αὐτῷ ἐν χερσὶ τοῦ παιδὸς τὸν γάμον, ἀφ-ικνεῖται ἐς τᾶς Σάρδεις ἀνὴρ συμ-φορᾷ ἐχόμενος καὶ οὐ καθαρὸς τᾶς χεῖρας, Φρὺξ μὲν γενεᾷ ὤν, τοῦ δὲ βασιλείου γένους. παρ-ελθὼν δ' οὗτος ἐς τὰ Κροίσου οἰκία, κατὰ τοὺς νόμους τοὺς ἐπιχωρίους καθάρσεως ἐδεῖτο ἐπι-τυχεῖν. Κροῖσος δ' ἐκάθηρεν αὐτόν. ἔστι δὲ παρα-πλησίᾱ ἡ κάθαρσις τοῖς Λῡδοῖς καὶ τοῖς Ἕλλησι. ἐπειδὴ δὲ τὰ νομιζόμενα ἐποίησεν ὁ Κροῖσος, ἐπυνθάνετο ὁπόθεν τε καὶ τίς εἴη, λέγων τάδε· "Ὤνθρωπε, τίς τ' ὢν καὶ πόθεν τῆς Φρυγίᾱς ἥκων ἐφ-έστιός μοι ἐγένου; τίνα τε ἀνδρῶν ἢ γυναικῶν ἐφόνευσας;" ὃ δ' ἀπ-εκρῑ́νετο, "Ὦ βασιλεῦ, Γορδίου μὲν τοῦ Μίδου εἰμὶ παῖς, ὀνομάζομαι δ' Ἄδραστος, φονεύσᾱς δ' ἀδελφὸν ἐμαυτοῦ ἄκων πάρ-ειμι ἐξ-εληλαμένος θ' ὑπὸ τοῦ πατρὸς καὶ ἐστερημένος πάντων." καὶ ὁ Κροῖσος "Ἀνδρῶν τε φίλων," ἔφη, "τυγχάνεις ἔκ-γονος ὢν καὶ ἐλήλυθας ὡς φίλους, ἔνθα δεήσῃ χρήματος οὐδενὸς μένων ἐν ἡμῶν, τήν τε συμφορὰν ταύτην

20. *ἔχοντος . . . τὸν γάμον his son being occupied with the marriage (having the marriage in hand for him).*

21. *συμ-φορᾷ ἐχόμενος who was a victim of a calamity*, i.e. *who was guilty of murder.*

25. *καθάρσεως ἐδεῖτο, κτλ. he sought purification.* The murderer was under a ban, and could not enter again into social relations until he had been purified by some one who took pity upon him. The purification consisted in the main in the ceremony of sprinkling the blood of a pig on the hands and head of the guilty person.

33. The name Adrastus means: *The Unescapable.*

34. *ἐξ-εληλαμένος driven into exile (ἐξ-ελαύνω).*

37. *ὡς φίλους to friends.* § 130, c. *δεήσῃ you will need (lack).*

38. *ἐν ἡμῶν (οἴκῳ).* *Cf.* 40, *ἐν Κροίσου (οἴκῳ).*

ὡς κουφότατα φέρων κερδανεῖς πλεῖστον." ὃ δὲ δὴ δίαιταν εἶχεν ἐν Κροίσου.

ἐν δὲ τῷ αὐτῷ χρόνῳ τούτῳ ἐν τῷ Μῡσίῳ Ὀλύμπῳ μέγα χρῆμα ὑὸς γίγνεται. ὁρμώμενος δ' οὗτος ἐκ τοῦ ὄρους τούτου τὰ τῶν Μῡσῶν ἔργα δι-έφθειρεν. πολλάκις δ' οἱ Μῡσοὶ ἐπ' αὐτὸν ἐξ-ελθόντες ἐποίουν μὲν ἂν κακὸν οὐδέν, ἔπασχον δ' ὑπ' αὐτοῦ. τέλος δ' ἀφ-ικόμενοι παρὰ τὸν Κροῖσον τῶν Μῡσῶν ἄγγελοι ἔλεγον τάδε· "Ὦ βασιλεῦ, ὑὸς χρῆμα μέγιστον ἀν-εφάνη ἡμῖν ἐν τῇ χώρᾳ, ὃς τὰ ἔργα δια-φθείρει. τοῦτον καίπερ προ-θῡμούμενοι ἑλεῖν οὐ δυνάμεθα. νῦν οὖν προσ-δεόμεθά σου τὸν παῖδα καὶ νεᾱνίᾱς καὶ κύνας συμ-πέμψαι ἡμῖν, ἵνα ἐξ-έλωμεν αὐτὸν ἐκ τῆς χώρᾱς." οἱ μὲν δὴ τούτων ἐδέοντο. ὁ δὲ Κροῖσος μνημονεύων τοὺς τοῦ ὀνείρου λόγους ἔλεγεν αὐτοῖς τάδε· "Παιδὸς μὲν πέρι τοῦ ἐμοῦ μὴ μνησθῆτε ἔτι, οὐ γὰρ ἂν ὑ̄μῖν συμ-πέμψαιμι· νεόγαμός τε γάρ ἐστι καὶ ταῦτα νῦν αὐτῷ μέλει. τῶν μέντοι Λῡδῶν νεᾱνίᾱς καὶ τὸ κυνηγέσιον πᾶν συμπέμψω, καὶ κελεύσω αὐτοὺς εἶναι ὡς προθῡμοτάτους συν-εξ-ελεῖν ὑ̄μῖν τὸ θηρίον ἐκ τῆς χώρᾱς."

ταῦτα μὲν ἀπ-εκρῖνετο ὁ Κροῖσος. ἀπ-ελθόντων δὲ τῶν Μῡσῶν, ἐπ-εσ-έρχεται ὁ τοῦ Κροίσου παῖς ἀκηκοὼς ὧν ἐδέοντο οἱ Μῡσοί. οὐ φάσκοντος δὲ τοῦ Κροίσου τόν γε παῖδα αὐτοῖς συμ-πέμψειν, λέγει

39. ὡς κουφότατα *as lightly as possible.*
42. χρῆμα ὑός *a monster of a boar.*
43. ἔργα *works,* i.e. *cultivated fields.*
44. ἐποίουν ἄν *they would (were wont to) do.* § 135.
58. ὡς προθῡμοτάτους *as zealously as possible.*
62. οὐ φάσκοντος . . . Κροίσου. *C. refusing (saying 'no'),* etc.

πρὸς αὐτὸν ὁ νεᾱνίᾱς τάδε· “Ὦ πάτερ, τὰ κάλλιστα πρότερόν ποτε καὶ γενναιότατα ἡμῖν ἦν ἔς τε πολέμους καὶ ἐς ἄγρᾱς φοιτῶσι εὐδοκιμεῖν. νῦν δὲ ἀμφοτέρων με τούτων ἀπο-κλῄσᾱς ἔχεις, οὔτε δειλίᾱν τινά μοι παρ-ιδὼν οὔτε ἀθῡμίᾱν. νῦν δὲ τίσι δή με χρὴ ὄμμασι ἔς τ᾽ ἀγορὰν καὶ ἐξ ἀγορᾶς φοιτῶντα φαίνεσθαι; ποῖος μέν τις τοῖς πολίταις δόξω εἶναι, ποῖος δέ τις τῇ νεογάμῳ γυναικί; ποίῳ δὲ ἐκείνη δόξει ἀνδρὶ συν-οικεῖν; ἐμὲ οὖν σὺ ἢ ἔᾱ ἐλθεῖν ἐπὶ τὴν θήρᾱν ἢ λόγῳ πεῖσόν με ἱκανῶς ὅπως μοι ἀμείνω ἐστὶ ταῦτα οὕτω ποιούμενα.”

ὁ δὲ Κροῖσος ἀπο-κρῑνόμενος “Ὦ παῖ,” ἔφη, “οὔτε δειλίᾱν οὔτε ἄλλο οὐδὲν κακὸν παρ-ιδών σοι τοῦτο ποιῶ, ἀλλά μοι ὄψις ὀνείρου ἐν τῷ ὕπνῳ ἐπι-στᾶσα ἔφη σε ὀλιγοχρόνιον ἔσεσθαι. ὑπὸ γὰρ αἰχμῆς σιδηρᾶς ἀπ-ολεῖσθαι. πρὸς οὖν τὴν ὄψιν ταύτην τόν τε γάμον σοι τοῦτον ἔσπευσα καὶ ἐπὶ τοῦτο τὸ ἐπιχείρημα οὐκ ἀπο-πέμπω, φυλακὴν ἔχων εἴ πως δυναίμην σε ἐπὶ τῆς ἐμῆς ζωῆς δια-κλέψαι. εἷς γάρ μοι μόνος τυγχάνεις ὢν παῖς· τὸν γὰρ δὴ ἕτερον δι-εφθαρμένον τὴν ἀκοὴν οὐκ εἶναί μοι λογίζομαι.” ὁ δὲ νεᾱνίᾱς ἀπ-εκρίνετο “Συγγνώμη μέν,

64. τὰ κάλλιστα . . . ἦν ἡμῖν ἐς πολέμους, . . . φοιτῶσι εὐδοκιμεῖν *it was formerly permitted us* (i.e. *me*) *going to wars and on hunting expeditions to enjoy the noblest reputation. Heretofore has it been permitted us to enjoy the fairest and noblest reputation through going*, etc.

67. ἀπο-κλῄσᾱς ἔχεις *you have shut out, have excluded.*

68. παρ-ιδών = ἰδών.

82. εἴ πως δυναίμην *if somehow I might be able.* ἐπὶ τῆς ἐμῆς ζωῆς *during my lifetime.*

85 ff. συγγνώμη σοι . . . φυλακὴν ἔχειν *it is pardonable for you*, etc.

ὦ πάτερ, σοὶ ἰδόντι γ' ὄψιν τοιαύτην περὶ ἐμὲ φυλακὴν ἔχειν. ὃ δ' οὐ μανθάνεις περὶ τοῦ ὀνείρου, ἐγώ σοί εἰμι δίκαιος φράζειν. φῂς γὰρ τὸν ὄνειρον ὑπὸ αἰχμῆς σιδηρᾶς φάναι ἐμὲ τελευτήσειν. ὑὸς δὲ ποῖαι μέν εἰσι χεῖρες, ποίᾱ δ' αἰχμὴ σιδηρᾶ ἣν σὺ φοβῇ; εἰ μὲν γὰρ ὑπὸ ὀδόντος σοι εἶπε τελευτήσειν με ἢ ἄλλου του τοιούτου, δικαίως γ' ἐποίεις ἂν ταῦτα. νῦν δὲ ὑπὸ αἰχμῆς. ἐπειδὴ οὖν οὐ πρὸς ἄνδρας ἡμῖν γίγνεται ἡ μάχη, ἔᾱσον καὶ ἐμὲ ἰέναι." ὁ δὲ Κροῖσος "Ὦ παῖ," ἔφη, "νῑκᾷς με, γνώμην ἀπο-φαίνων περὶ τοῦ ἐνυπνίου. ὡς οὖν νενῑκημένος ὑπὸ σοῦ μετα-γιγνώσκω καὶ ἐῶ σε ἰέναι ἐπὶ τὴν ἄγρᾱν."

ταῦτα δ' εἰπὼν ὁ Κροῖσος μετα-πέμπεται τὸν Φρύγα Ἄδραστον, καὶ αὐτῷ ἀφ-ικομένῳ λέγει τάδε· "Ἄδραστε, ἐγώ σε συμφορᾷ πεπληγμένον δεινῇ, ἥν σοι οὐκ ὀνειδίζω, ἐκάθηρα καὶ οἰκίοις ὑπ-εδεξάμην, παρ-έχων πᾶσαν τὴν δαπάνην. νῦν οὖν (ὀφείλεις γάρ, ἐμοῦ προ-ποιήσαντος ἀγαθὰ πρός σε, ἀγαθοῖς με ἀμείβεσθαι) φύλακα παιδός σε τοῦ ἐμοῦ ἐθέλω γενέσθαι ἐς ἄγρᾱν ὁρμωμένου, μή τινες καθ' ὁδὸν κλῶπες κακοῦργοι ἐπὶ βλάβην φανῶσιν ὑμῖν." ὁ δ' Ἄδραστος "Ὦ βασιλεῦ," ἔφη, "ἄλλως μὲν ἔγωγε οὐκ ἂν ᾖα ἐς ἆθλον τοιοῦτον· οὔτε γὰρ

89. φάναι *to say. You say that the dream said,* etc.

96. ὡς νενῑκημένος *as having been conquered, inasmuch as I have been overpersuaded.*

106. ὁρμωμένου *as he sets out,* etc.

108. ἄλλως μὲν . . . οὐκ ἂν ᾖα (*otherwise*) *under other circumstances I would not go,* etc.

ἄνδρα συμφορᾷ τοιαύτῃ πεπληγμένον δίκαιόν ἐστιν ἐς ὁμήλικας εὖ πράττοντας ἰέναι, οὔτε τὸ βούλεσθαι πάρ-εστιν. νῦν δέ, ἐπειδὴ σὺ σπεύδεις καὶ δεῖ με σοι χαρίζεσθαι (ὀφείλω γάρ σε ἀμείβεσθαι ἀγαθοῖς) ποιεῖν εἰμὶ ἕτοιμος ταῦτα, παῖδα δὲ τὸν σόν, ὃν κελεύεις με φυλάττειν, ἀπήμονα τοῦ φυλάττοντος ἕνεκα προσ-δόκᾱ σοι ἐπ-αν-ελθεῖν.”

ἐπειδὴ δ᾽ οὗτος ταῦτ᾽ ἀπ-εκρίνατο τῷ Κροίσῳ, ἐξ-έρχονται μετὰ ταῦτα νεᾱνίαις τ᾽ ἐξ-ηρτυμένοι καὶ κυσί. ἀφ-ικόμενοι δ᾽ ἐς τὸν Ὄλυμπον τὸ ὄρος ἐζήτουν τὸ θηρίον, εὑρόντες δὲ καὶ περι-στάντες αὐτὸ κύκλῳ ἐσ-ηκόντιζον. ἔνθα δὴ ὁ ξένος, οὗτος δὴ ὁ καθαρθεὶς τὸν φόνον, καλούμενος δὲ Ἄδραστος, ἀκοντίζων τὸν ὗν, τούτου μὲν ἁμαρτάνει, τυγχάνει δὲ τοῦ Κροίσου παιδός. ὁ μὲν δὴ βληθεὶς τῇ αἰχμῇ ἐξ-έπλησε τοῦ ὀνείρου τὴν φήμην, ἔθει δέ τις ἀγγελῶν τῷ Κροίσῳ τὸ γεγονός. ἀφ-ικόμενος δ᾽ ἐς τᾱ̀ς Σάρδεις τήν τε μάχην καὶ τὸν παιδὸς μόρον ἐσήμηνεν αὐτῷ.

Κροῖσος δὲ τῷ θανάτῳ τοῦ παιδὸς συν-τεταραγμένος μᾶλλον ἐδεινολογεῖτο ὅτι αὐτὸν ἀπ-έκτεινεν ἐκεῖνος ὃν αὐτὸς φόνου ἐκάθηρε. λῡπούμενος

115. ἀπήμονα τοῦ φυλάττοντος ἕνεκα προσ-δόκᾱ *expect . . . unharmed so far as his guardian is concerned, so far as depends on his guardian.*

118. νεᾱνίαις τε ἐξ-ηρτυμένοι καὶ κυσί (*equipped with*) *attended by men and dogs.*

123. τούτου μὲν ἁμαρτάνει, τυγχάνει δὲ τοῦ παιδός. Genitive with verbs of *hitting*, *missing*, etc. § 115 e.

126. ἀγγελῶν, future participle of *purpose*. § 175.

129. συν-τεταραγμένος (*thrown together in confusion*) *greatly distressed.* ταράσσω *trouble*, *confuse*, etc.

δ' ἐπὶ τῇ συμφορᾷ μεγάλως, ἐκάλει μὲν Δία τὸν καθάρσιον, μαρτῡρόμενος ἃ ὑπὸ τοῦ ξένου πεπονθὼς εἴη, ἐκάλει δὲ Δία ἐφέστιόν τε καὶ ἑταιρεῖον, τὸν αὐτὸν τοῦτον ὀνομάζων θεόν, τὸν μὲν ἐφέστιον καλῶν, διότι δὴ τοῖς οἰκίοις ὑπο-δεξάμενος τὸν ξένον φονέᾱ τοῦ παιδὸς ἐλάνθανε βόσκων, τὸν δ' ἑταιρεῖον καλῶν ὅτι φύλακα συμ-πέμψᾱς αὐτὸν εὑρήκοι πολεμιώτατον.

παρ-ῆσαν δὲ μετὰ τοῦτο οἱ Λῡδοὶ φέροντες τὸν νεκρόν, ὄπισθεν δ' εἵπετο αὐτῷ ὁ φονεύς. στὰς δ' οὗτος πρὸ τοῦ νεκροῦ παρ-εδίδου ἑαυτὸν Κροίσῳ προ-τείνων τὰς χεῖρας, ἐπι-κατα-σφάξαι αὐτὸν κελεύων τῷ νεκρῷ, λέγων τήν προτέρᾱν συμφορὰν καὶ ὡς οὐκέτι αὐτῷ βιώσιμον. Κροῖσος δὲ τούτων ἀκούσᾱς τόν τε Ἄδραστον κατ-οικτῑ́ρει, καίπερ ὢν ἐν κακῷ ἰδίῳ τοσούτῳ, καὶ λέγει πρὸς αὐτόν "Ἔχω, ὦ ξένε, παρὰ σοῦ πᾶσαν τὴν δίκην, ἐπειδὴ σεαυτοῦ κατα-δικάζεις θάνατον. σὺ δέ μοι οὐκ εἶ τοῦδε τοῦ κακοῦ αἴτιος, εἰ μὴ ὅσον ἄκων ἐξ-ειργάσω, ἀλλὰ θεῶν πού τις, ὅς μοι καὶ πάλαι προ-εσήμηνε τὰ μέλλοντα ἔσεσθαι κακά."

Κροῖσος μὲν οὖν ἔθαψε τὸν ἑαυτοῦ παῖδα, Ἄδραστος δ' ὁ Γορδίου τοῦ Μίδου, οὗτος δὴ ὁ φονεὺς μὲν τοῦ αὑτοῦ ἀδελφοῦ γενόμενος φονεὺς δὲ τοῦ

133. πεπονθὼς εἴη *he had suffered* (πάσχω). § 179, II B.

134. Δία ἐφέστιον *Zeus* (*God*) *of the hearth.*

137. ἐλάνθανε βόσκων (*he escaped notice feeding*) *he had without knowing it cared for the murderer.* § 176 c.

138. εὑρήκοι *he had found.* § 179, II B.

150. εἰ μὴ ὅσον, κτλ. *except so far as you wrought it*, etc.

καθήραντος, ἐπειδὴ ἡσυχίᾱ τῶν ἀνθρώπων ἐγένετο περὶ τὸ σῆμα, συγ-γιγνωσκόμενος ἀνθρώπων εἶναι, ὧν αὐτὸς ᾔδει, βαρυ-συμφορώτατος, ἐπι-κατα-σφάζει τῷ τύμβῳ αὐτόν.

156. ἡσυχίᾱ τῶν ἀνθρώπων (*quiet from men*) *when quiet prevailed about the tomb.*

157. συγ-γιγνωσκόμενος (*recognizing with himself*) *being conscious, believing.*

158. ᾔδει *he knew.* § 95.

ΓΥΜΝΑΣΙΑΙ—EXERCISES

1. Ἡ Πρώτη Γυμνασίᾱ

(To accompany Lesson II)

For additional drill in pronunciation:

βῆ βῆ *baa, baa!* βαῦ βαῦ *bow-wow!* πῶς; *how?* ποῦ; *where?* ποῖ; *whither?* ναί *yes!* οὔ *no!* οὐχί *NO!* ἐγώ *I.*
καὶ ἐγώ *I too, et ego.* σύ *you.* καὶ σύ *you too, et tu.*
χαῖρε *rejoice! good-morning! hail! farewell!*
χαῖρε καὶ σύ. πῶς ἔχεις μοι; *how are you (for me)?*[1]
καλῶς ἔχω *I am well.* κακῶς ἔχω *I am ill.*
μανθάνω *I am learning, I understand.* οὐ μανθάνω *I am not*, etc. οἶδα *I know.* οὐκ οἶδα *I do not know.*
ἑλληνίζω *I am speaking (I speak) Greek.* οὐχ ἑλληνίζω.[2]

Each pupil should make at this point a complete list of all the words in Lessons I–II and the exercise above, classifying them according to accentuation and arranging

[1] *μοι* = *mihi*, *i.e.* I am interested in your condition. § 120.

[2] *οὐ*, *not*, ordinarily has no accent, but attaches itself in pronunciation to the word that follows. But when it stands alone (in which case it means *no!*), and when it is the final word in its clause or sentence, it receives an acute accent: *οὔ*. Why? See further § 6 f.

In ancient Greece it was not the custom to shake the head as we do to indicate denial or refusal, but to throw it up and backwards. *οὔ*, and especially *οὐχί*, should therefore be accompanied by a toss of the head.

each group in alphabetical order. These lists may be compared and kept for reference and drill. The groups are as follows:

I. Words with *acute* accent:

a) on *ultima:* **κακός** *bad.* **καλός** *beautiful.*

b) on *penult:* **σοφίᾱ** *wisdom.* **βιβλίον** *book.*

c) on *antepenult:*

α) penult and ultima both short: **δεύτερος** (´ ◡ ◡) *second.*

β) penult long, ultima short: **μάθημα** (◡́ – ◡).

II. Words with *circumflex:*

